




BIBLIOTECA NAZIONALE VITT. EMANUELE
68
21 B
30



sine latina interpretatione




ΘΕΜΙΣΤΙΟΥ ΦΙΛΟΣΟΦΟΥ, τοῦ καὶ εὐφράδους ἐπικληθέντος, λόγοι τεσσαρεσκαίδεκα.

THEMISTII PHILOSOPHI (euphradæ ab eloquẽtia cognominati) orationes XIIII.

Harum ſex poſteriores, nouæ, cæteræ emendatiores prodeunt.

Cum Latina interpretatione.



ANNO M. D. LXII

Excudebat [redacted], illuſtris viri Huldrichi Fuggeri typographus.

1562



ΘΕΜΙΣΤΙΟΥ ΦΙΛΟΣΟΦΟΥ λόγοι τεσσαρεσκαίδεκα.

ΒΑΣΑΝΙΣΤΗΣ Η ΦΙΛΟΣΟΦΟΣ, λόγος πρῶτος.



ΝΔΡΕΣ ὅσοι συνειλέχθητε ὑπ' ἐμοῦ τήμερον εἰς τὸ θέατρον τῶν Μυσῶν, τί κάθησθε ἐκπεπληγμένοι; τί δὲ συνέχεσθε ὑπὸ θάμβους; ὅτι που ὑμῖν καινὸν καὶ ἀλλόκοτον καταφαίνεται, ἄνδρα τοῦ φιλοσοφίας ὀνόματος ἀξιούμενον, χθές τι ἀγείροντα ἑωρᾶτε, καὶ νῦν καθήμενον ἐπὶ θρόνου τινὸς ὑψηλοῦ μάλα σοφιστικῶς καὶ σοβαρῶς, μέλλοντα ὑμᾶς παρακαλέσασθαι, ἀφ' ὧν αὖ λέγει, εἰς ἐκβοήσεις τε καὶ κρότους, οἵων θαμὰ ἀπολαύουσι παρ' ὑμῶν οἱ δαιμόνιοι σοφισταί. εἰ οὖν διὰ τοῦτο θαυμάζετε, εὖ ἴστε ὅτι εἰκότως θαυμάζετε· τῷ ὄντι γὰρ οὐ φιλοσόφου οὔτε τὸ ἔργον, οὔτε τὸ ἐπιθύμημα. ἀλλ' οὐκ ἐγώ τοι ὁ παραχαράττων καὶ πλημμελῶν, ἀλλ' ὁ τοῦτό μοι τὸ ὄνομα ἐξ ἀρχῆς περιθεὶς, καὶ διδάξας ὑμᾶς νομίζειν. ἐπεὶ τό γε ἀληθὲς οὐ ταυτὰ ἔχει· ἀλλ' ἐγὼ πατρὸς μὲν οἶδα ἐμαυτὸν γενέσθαι μάλα γενναίου τε καὶ ἀληθινοῦ φιλοσόφου, καὶ οὐκ ἀπιστῶ τῇ μητρὶ, καθάπερ ὁ Τηλέμαχος τῇ Πηνελόπῃ· φιλόσοφος δὲ οὔτε εἶναι ἡγοῦμαι, τούς τε ἡγουμένους ἐξαπατᾶσθαι ὑπολαμβάνω. τί οὖν πράγματα ἔχουσι καὶ παρέχουσιν; ἰδοὺ γὰρ ὑμῖν διαρρήδην αὐτοὺς ἐγὼ λέγω κατ' ἐμαυτοῦ ἐν κοινῷ θεάτρῳ, ὅτι τούτου μοι τοῦ ὀνόματος οὐδὲν προσήκει· ἀλλ' ὁ κατ' ἀρχὰς αὐτὸ ἐπιρρίψας, ὡς ἔοικεν, οὐκ ἐσκέψατο ὅτι οὐ μόνον ἀπόχρη τὸ γενέσθαι ἐκ πατρὸς φιλοσόφου, ἀλλὰ δεῖ καὶ τραφῆναι καὶ παιδευθῆναι ὑπὸ τοιού-

τοῖς διδασκάλοις τε καὶ τροφεῦσι, καὶ τὴν ψυχὴν ἀναπλησθῆναι ἔτι νέαν τε καὶ ἁπλῆν. οὕτω γὰρ δὴ μάλιστα ὁ τύπος εἴσιοι τε καὶ ἐνδύοιτο ἐν τῷ βάθει, καὶ οὐκ ἂν μένοι ἐπιπολῆς. τούτων δὲ οὐκ οἶδα ὅπως ἔγωγε ἀπεστέρημαι, καὶ ταῦτα, δύο πατέρων τυχὼν κορυφαίων, ὧν ὁ μὲν ἐγέννησεν, ὁ δὲ ἐξείλετο κηδεστήν. τῷ δὲ Ἀριστίππῳ ἐξήρκεσεν, ὑπὸ μητρὶ μόνῃ φιλοσοφούσῃ τραφέντι, μητροδιδάκτῳ κληθῆναι. ἴστε ἄρα ὃν λέγω Ἀρίστιππον, οὐκ ἐκεῖνον τὸν πάνυ, τοῦ Σωκράτους ὁμιλητήν, ἀλλὰ τὸν ἐκείνου θυγατριδοῦν. ἀλλ' Ἀρίστιππον μὲν, ὡς ἔοικεν, ἠγάπα ἡ μήτηρ, καὶ τὰ μαθήματα ἐνεπίθει, σπεύδουσα ἀποδεῖξαι ἑαυτῆς μὲν ἄξιον καὶ τοῦ πάππου· ἐμὲ δὲ ἐμισείτην τὼ πατέρε τούτω καὶ ἀπηχθέσθην. ἢ ἐκείνω μὲν οὐκ ἐμισείτην· (οὐ γὰρ, οἶμαι, θέμις ἄνδρας σοφούς τε καὶ μακαρίους τὰ ἔκγονα ἀπεχθαίρειν τὰ ἑαυτῶν) ἀλλ' ἐγὼ νωθής τις πρὸς παιδείαν ἔφυν καὶ ἀπεράμων, καί μοι σκληρίας ὑπόπλεων ξυνεπάγη τὸ ἐκμαγεῖον, ὥστε καὶ πάνυ βουλομένοις αὐτοῖς ἐγγράφειν μὴ δύνασθαι τὰ παιδεύματα. εἰ οὖν ταῦτα οὕτως ἔχει, παύσασθε, παύσασθε καὶ ὑμεῖς ὦ μακάριοι τῆς πλάνης· παύεσθε ἤδη πρὸς τῶν Μουσῶν, καί μοι τοῦ ὀνόματος τούτου μὴ πάνυ μεταδιδόναι· ἀλλ' εἰς μὲν τὸ ἔργον, ὃ δηλοῦν ἐθέλετε τῷ ὀνόματι, ξυνελαύνετε ὅπῃ δύνασθε, καὶ ξυνωθεῖτε· (ὡς οὐδέν με ἄλλο τηλικοῦτον ἀγαθὸν ἐργάσεσθε) τῆς δὲ προσηγορίας, εἰ ἄρα ἀναγκαία ὑμῖν ἐνδιαιτᾶσθαι, ἑτέροις πρὸ ἐμοῦ ξυγχωρεῖτε. ἢ ἐγὼ καταγέλαστος ἔσομαι, καθάπερ χιτῶνα ἀλλότριον καὶ πολὺ μείζω ἠμφιεσμένος· καὶ ὀλίγοι εἴσονται τἀληθές, ὅτι ὑμεῖς ἄρα φιλόδωροι ὀνομάτων, ἀλλ' ἐμὲ ἐπιτηδᾶν ὑπολήψονται καὶ ἐπιζατεύειν, καὶ ἀφαρπάζειν μὴ ἐθελόντων διδόναι. ἐγὼ δὲ οὐκ ἂν βουλοίμην ἄτοπόν τινα δόξαν ἐν ἀνθρώποις λαβεῖν, ἀλλ' εὖ ἴστε ὅτι πρὸ τῆς

καταγελῶ τῆς τοιαύτης νόσου ξυνεχομένων, καὶ οἶμαι αὐτοὺς μικρὸν διαφέρειν ἀνθρακέως τινὸς ἢ σιδηρέως, καπνοῦ γέμοντος καὶ μαρίλης, ἔπειτα ἀνθρακέως μὲν οὐκ ἀξιοῦντας καλεῖσθαι, (ἀλλὰ καὶ πάνυ ἀγανακτοῦντας πρὸς τοὺς καλοῦντας, καὶ ἑτοίμου, εἰ λάβοι τινάς, κατατέμνειν) μάντεως δὲ ἢ ἰατροῦ, ἢ ἄλλου τοῦ σεμνοτέρου δημιουργοῦ. νεμεσῶ γὰρ καὶ τῷ ὄνῳ τῷ Αἰσώπου, ἀκούων ὅτι ὄνος ὤν, ὅμως ἠμπίσχετο λεοντῆν. ταύτῃ τοι καὶ ξυνηθόντα παιδάρια ξαίνει τε αὐτὸν τοῖς ῥοπάλοις, καὶ ἀφαιρεῖται τῆς δορᾶς τε καὶ τοῦ φρονήματος. ἀλλ᾽ ὅπερ λέγω, εἰ μὴ συγχωροίην ὑμῖν φιλόσοφος εἶναι, πάντως τέρας τι παρ᾽ ἐμοῦ γινόμενον. ἐφεῖται γάρ που τῶν γε ἄλλων τῷ βουλομένῳ προσιέναι τε ἀθρόοις ὑμῖν καὶ διαλέγεσθαι μετὰ πολλῆς ἐξουσίας, ἅτε καὶ ἐν εὐδαίμονι πόλει καὶ ἐλευθέρᾳ. ὥστε οὐδὲν θαυμαστὸν εἰ καὶ ἐγὼ ταύτης ἀπολαύσομαι τῆς ἀδείας. οὔκουν δεῖ θορυβεῖσθαι ὅταν ἀκούητέ μου λέγοντος. ἀκούσεσθε γὰρ φιλοσόφου δή μου μὲν οὔ, ἀνδρὸς δὲ ἐμφορουμένου προσκειμένης ἀφθόνου καὶ πολυτελοῦς εὐωχίας. καίτοι εἰ καὶ τοῦ πράγματος ἠμφισβήτουν, καὶ τοὔνομα ὡς διαφέρον μοι προσιέμην, οὐ πρὸς αὐτὸ ἔδει μόνον ὁρῶντας τὸ λέγειν με ἐν κοινῷ, τεταράχθαι, ἀλλὰ ξυνεπισκοπεῖν καὶ ἃ λέγω, καὶ ὅτου ἕνεκα λέγω· τὰ μὲν, εἰ χρηστὰ καὶ ὀνήσιμα τοῖς ἀκροωμένοις· τοῦ δὲ χάριν, εἰ τοῦ θαυμάζεσθαι ὀρεγόμενος. ἐπεὶ καὶ Πλάτωνα τὸν σοφὸν οὐδὲν ἐκώλυεν εἶναι σοφόν, ὅτι αὐτοῦ λέγοντος ἐν τῷ Πειραιεῖ, ξυνέρρεόν τε καὶ ξυνήεσαν οὐ μόνον ἐκ τοῦ ἄστεος κατιὼν ὁ δῆμος, ἀλλὰ καὶ ἐκ τῶν ἀγρῶν καὶ ἐκ τῶν ἀμπέλων καὶ ἐκ τῶν ἔργων τῶν ἀργυρείων· καὶ οὐ ὁπηνίκα τοὺς περὶ τἀγαθοῦ διεξῄει λόγους, ἰλιγγίασέ ποτε ὁ πολὺς ὅμιλος, καὶ ἀπερρύησαν τοῦ χοροῦ, καὶ τελευτῶν δὴ κατέληξεν εἰς τοὺς συνήθεις ὁμιλητὰς τῷ Πλάτωνι μόνους τὸ θέατρον. ἀλλὰ τοῦτο ἀνδρὶ μὲν ἐπαίνους θηρῶντι καὶ σφόδρα αἰσχρὸν καὶ ἀτύχημα σο-

φιστοῦ· φιλοσόφου δὲ οὐδέν τι μεῖον ὁ λόγος εὖ ἔχει, κἂν ὑπὸ πλατάνῳ λέγηται μόνῃ, κἂν τεττίγων ἀκροωμένων. εἰ γὰρ δὴ καὶ ἐπαίνου προσδεῖται, δεῖ μὲν οὐδέν, ἀποχρήσει δὲ αὐτῷ καὶ εἷς ἐπαινέτης, Φαῖδρος ὁ Μυῤῥινούσιος. οἱ τέττιγες δὴ ᾄσονται καὶ προσᾴσονται τῇ μεσημβρίᾳ καὶ τῷ ἡλίῳ. ἀλλὰ τί ταῦτά ἐστι πρὸς ἐμέ; πάλαι γὰρ ὑμῖν διατετέλεκα λέγων ὅτι οὐκ εἰμὶ ταύτης ἐγὼ τῆς μερίδος. χαλεπὸν γάρ τὸ χρῆμα; χαλεπόν, ὦ ἄνδρες, καὶ οὐ προστίθησιν Ἡσίοδος μὲν τὴν τραχεῖαν ἐκείνην ὁδὸν καὶ αἰπεινήν, Πίνδαρός τε πόνους τε καὶ δαπάνας, Σωκράτης δὲ ἐκεῖνος ὁ Σωφρονίσκου, θείᾳ μοίρᾳ μόνῳ παραγενέσθαι ἐς ἀνθρώπους. ἵνα γὰρ δὴ μᾶλλον καταμάθητε ὅτι οὔτι τι ἀληθῆ λέγουσιν, ἐγώ τε οὐκ ἀπὸ τρόπου ποιῶ, παρεξιὼν τοὔνομα καὶ πεφοβημένος, ἀκούσατε ὅσα καὶ οἷα χρεὼν τῷ μὴ αἰσχυνεῖν αὐτὸ μέλλοντι προσφῦναί τε ἐκ θεῶν γινομένῳ, καὶ ὕστερον ἐκ διδαχῆς προσγενέσθαι. ἐρῶ δὲ οὐκ ἐμαυτοῦ λόγους (πάλιν γὰρ σοφιστὴς ἂν ἦν, τοιούτοις ἐπιστάμενος λόγοις δι' ὧν ἐθρυπτόμην ἂν τοὔνομα ἐξαρνούμενος) ἀλλ' οἷς Σωκράτης καὶ Πλάτων ἠγέτην τε καὶ ὠρεξέσθην, ἀπολυομένω τὰς τῆς φιλοσοφίας διαβολάς, καὶ ἀποδεικνύντε ὡς εἰκότως τὸ μὲν καθαρὸν τοῦτο καὶ ἄδολον γένος, σμικρὸν δή τι ἐν ἀνθρώποις καὶ σπάνιον, πολλοὶ δὲ οἱ παράσημοι καὶ παρεγγράφοντες ἑαυτούς, ἐκ τινῶν φαύλων καὶ ὀλίγου ἀξίων τεχνῶν εἰς ἐπιτήδευσιν μείζω καὶ σεμνοτέραν εἰσβιαζόμενοι. καὶ ἐκ τούτων δὴ τὰ πολλὰ καὶ μεγάλα ὀνείδη πάλαι τε ἀπέλαυσε φιλοσοφία, καὶ νῦν ἀπολαύει, ὅταν δή τινες ἐνίοτε ἀνελευθέρως τε καὶ δουλοπρεπῶς τεθραμμένοι, τέχνην τινὰ αὐτοὶ μαθόντες, ἢ τοῦ δεσπότου διδαξαμένου, ἐκπηδήσαντες τῆς δουλείας διὰ τὴν τέχνην, οὐκ ἀγαπήσωσι ταύτην, ἀλλὰ τοῦ φιλοσοφίας ὀρεχθῶσιν ἀξιώματος.

τί γὰρ ἄλλο δεῖ πρὸς Διός, ἢ ὁ χαλκεὺς ἐκεῖνος ὁ φαλακρὸς καὶ σμικρός, ὁ νεωστὶ τῶν δεσμῶν λελυμένος, ὁ τὸ σεμνὸν ἱμάτιον περιθέμενος, μέλλων ἐπιχειρεῖν τῇ δεσποίνῃ; ὅταν οὖν οἱ τοιοῦτοι πλησιάζειν ἐπιχειρῶσι φιλοσοφίᾳ, τί οἰόμεθα τοὺς ὁρῶντάς τε καὶ ἀκούοντας φρονήσειν περὶ αὐτῆς; ἆρα οὐχ ὅσα αὖ οὗτοι κακὰ ἔχωσιν ἐν τῇ ψυχῇ, ταῦτα ἐκείνῃ προσάψειν; ἀνελευθέροις τε δὴ οὖν οὕτως εὑρίσκοντές τις καὶ φιλοχρημάτους τε καὶ ἁρπαγίας, λοιδόρους τε καὶ φιλαπεχθήμονας καὶ ἀλαζόνας, δολερούς τε καὶ ἐπιβούλους, οὐκ οἴσονται ἐκ φύσεως ἢ τῆς προτέρας βαναυσίας ἔχειν τὰς κῆρας, ἀλλ' οἰήσονται ἐκ φιλοσοφίας προσγίνεσθαι. ἀλλ' ὑμᾶς γε οὐκ ἄξιον, ὦ θαυμάσιοι. τά τε γὰρ ἄλλα ἀγαθὰ ὑμῖν παρὰ τοὺς ἄλλους ἀνθρώπους ὑπάρχει, καὶ πλείστου ἄξιον ἐν τοῖς καιριωτάτοις μὴ ἀπατᾶσθαι. ἢ πρὸς Διός, εἰ μέν τις χρυσίον ὑπόχαλκον, ἢ πορφύραν ἐψευσμένην τὸ ἄνθος, ἢ λίθον ἐπιβουλεύσας εἰς τὴν ἀγορὰν ὑμῖν εἰσαγάγοι, ὀργιεῖσθέ τε καὶ οὐκ ἀνέξεσθε, ἀλλ' ὡς κακοῦργόν τινα καὶ παλίμβολον, μαστιγοῦν παραδώσετε τῷ τεταγμένῳ. καὶ διὰ τοῦτο ἐξεύρηται ὑμῖν πολλὰ μὲν τοῦ χρυσοῦ, πολλὰ δὲ πορφύρας, πολλὰ δὲ ὑακίνθων βασανιστήρια· καὶ βασανισταί τινες ἐπὶ τούτῳ καθήμενοι, οὓς, ὅταν ὠνῆσθε, παρακαλεῖτε ξυμπαρεῖναι ὑμῖν καὶ συνδοκιμάζειν τὰ συναλλάγματα. εἰ δέ τις τὸ θειότατον τῶν ἀνθρωπίνων ἀγαθῶν κιβδηλεύων τε καὶ αἰσχύνων καὶ καπηλεύων ἐν τῇ πόλει ὑμῖν περινοστήσει, προεδρίας τε μεταποιούμενος, καὶ ἀξιῶν ὡς ἐν βοσκήμασιν ἄνθρωπος εἶναι, ὅτι τὰ ὁμώνυμα ἐπίσταται, ἢ ὅτι ἐπίσταται, καὶ ᾗ διαφέρει τὸ διότι καὶ τὸ καθότι, καὶ τὰ τοιαῦτα ἄττα ἀτεχνῶς σκοτεινὰ καὶ λωβὰ ῥήματα τῆς Ἀριστοτέλους διαλεκτικῆς· τούτῳ δὲ οὐχ ἕξετε προσενεγκεῖν τι βασανιστικόν, οὐδὲ στάθμην τινὰ ἐπιστῆσαι, ἢ τὸ σκολιὸν αὐτοῦ

καὶ διάστροφον ἐκφανὲς ποιήσῃ μὴ προσαρμόττουσα; καίτοι οὐδὲ ἀπρεπεῖς βασανιστῶν, ἀλλ' οὐ πείθεσθε αὐτοῖς, οὐδὲ χρῆσθε. καὶ εἶπον ἂν ὑμῖν καὶ τὰ ὀνόματα τῶν ἐνθάδε ταύτην κεκτημένων τὴν ἐπιστήμην, εἰ εὖ ᾔδειν ὅτι ἀπολαύσεσθε αὐτῶν τῆς ἐμπειρίας· νῦν δέ μοι φαίνεσθε αὐτουργεῖν βούλεσθαι μᾶλλον ἢ ἑτέρων ἑρμηνέων προσδεῖσθαι. αἰτώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς, ὥσπερ ἔφην, παρὰ Πλάτωνος τοῦ σοφοῦ, τὴν ἀχλὺν ἀποσκεδάσαι ἡμῖν τῶν ὀμμάτων, ἵνα αὐτοὶ καθ' ἑαυτοὺς διαγινώσκειν δυνηθῶμεν ἀτεχνῶς θεοὺς καὶ ἀνθρώπους. ἐπακούσεται δὲ ὁ ξυνοπαδὸς τοῦ Διός, μᾶλλον δὲ ἐπακήκοεν. ἰδοὺ γὰρ αἰσθάνομαι ὦ μακάριοι τὸ στῆθος ὑποπιμπλάμενος, καί μοι ξυρρεῖ ἐξαίφνης ἔνθεν καὶ ἔνθεν τὰ νῦν ἐξευρημένα βασανιστήρια, οἷς ἐκάθηρε τοὺς φιλοσόφους ἐν τῇ καλλιπόλει, καὶ ἀπειργάσατο τελειότερον ἢ Φειδίας τὰ ἀγάλματα. πρῶτον δὴ ἁπάντων, φησίν, ἐκ γάμων ἔσονται ἱερῶν. γάμος δὲ ἱερὸς τοῦ ἀρίστου ἀνδρὸς τῇ ἀρίστῃ τῶν γυναικῶν συνελθόντος τε καὶ συζυγέντος. ἀθρεῖτε δὴ τοῦτον πρῶτον ὦ ἄνδρες τὸν τύπον, καὶ ἐπισκοπήσαντες ἀκριβῶς, ἐὰν ὑμῖν φαίνηται ἀναγκαῖος, φυλάττειν τε καὶ προσέχειν. ἀθρεῖτε δὲ ὧδε· εἰσί που ὑμῶν ἐν ταῖς οἰκίαις πολλοὶ μὲν ἵπποι, πολλοὶ δὲ κύνες, καὶ ἐν τοῖς ἀγροῖς γε αὖ βοῶν τε καὶ προβάτων ἀγέλαι· ὅταν οὖν βούλησθε ἐξ αὐτῶν ἐκτεθῆναι ὑμῖν μόσχους τε ἀδροὺς καὶ πώλους γενναίους καὶ σκυλάκια θηρευτικά, πότερον ἐξ ἁπάντων ὁμοίως γεννᾶτε, ἢ προθυμεῖσθε ὅτι μάλιστα ἐκ τῶν ἀρίστων; ἐγὼ μὲν γὰρ ὑμᾶς ὁρῶ τόν τε ἵππον ἐξετάζοντας τὸν ἐπιβησόμενον, εἰ γαῦρός τε καὶ ὑψαύχην καὶ ἐλευθέριος· τήν τε κύνα ἐξ ἧς μέλλετε σκυλακεύεσθαι, εἰ λάκαινα ὄντως γνησία, καὶ μὴ πονηρὸν κυνίδιον, ἀλωπεκὶς ποθὲν ἢ μελιταία. καὶ τὸν ταῦρόν γε αὖ καὶ τὸν κριὸν παραπλησίως. πυροὺς δὲ αὖ καὶ κριθὰς καὶ ἄμπελον καὶ

ἐλαίαν σπείροντές τε καὶ φυτευόμενοι, πρὸς Δήμητρός τε καὶ Διονύσου, τῶν φυτῶν καὶ τῶν σπερμάτων καταμελεῖτε, καὶ οὐχ ὅτι μάλιστα πεπιστεύκατε, ἐκ μὲν τῶν χρηστῶν καὶ ἡμέρων χρηστὰ καὶ ἔγκαρπα φυήσεσθαι τὰ δένδρα τέ καὶ τὰ ὀσπρια, ἐκ δὲ τῶν ἀχρείων καὶ δυσγενῶν, δυσγενέστερά τε καὶ ἀχρειότερα; ἆρα οὖν ἐλήρει Θέογνις, ἀγανακτῶν τε καὶ σχετλιάζων ὅτι ταῦτα ἐπὶ μὲν τῶν ἄλλων φροντίζομεν, ἐπ' ἀνθρώπων δὲ παρορῶμεν; καὶ οὐκ οἰόμεθα ξυνέχειν, ἀλλὰ τὸν ἐκ μαγείρου τυχὸν ἴσως ἢ ἀρτοκόπου, ἐντεθραμμένον χοινικίοις τέ καὶ κοτύλαις, οἰόμεθα ἱκανῶς ἔχειν πρὸς τὸ μεγαλεῖόν τε καὶ ὑψηλόνουν φιλοσοφίας· καὶ οὐκ ἴσμεν ὅτι τὸ βάναυσον ἐκεῖνο καὶ δουλοπρεπὲς τοῦ σπέρματος πάντως δή τι προσομόργνυται τῇ ψυχῇ, καὶ οὐκ ἐᾷ καθαρὸν οὐδὲν καὶ εἰλικρινὲς καὶ ὑπὲρ τῆς ῥίζαν ἰδεῖν, ἀλλ' ἕλκειν πρὸς τὴν ἀρχαίαν φύσιν καὶ ἐπιστρέφειν ἐπίσω. καθάπερ τῶν κλάδων τοὺς διαστρόφους φύντας οὐκ ἄν ποτε εὐθεῖς μηχανήσαιο ταῖς χερσὶ μαλάττων τε καὶ ἐπικάμπτων, ἀλλ' ἀνατρέχουσιν αὖθις ἐπὶ τὴν σκολιότητα τῆς γενέσεως. καὶ γὰρ ὡς ἀληθῶς τῷ γε τοιούτῳ διὰ τὴν συντροφίαν ἐστὶν ἀναγκαῖον κάτω βλέπειν εἰς δουλικὰ ἄττα διακονήματα. τὸ γὰρ ἄνω αὐτῶν καὶ εὐθύ τε καὶ ἐλεύθερον ἡ ἐκ νέων δουλεία ἀφῄρηται, τὰ λαθραῖα καὶ δόλερα καὶ ὑπὸ σκότῳ διὰ τὸ ὁμόηθες ἀναγκάζουσα ἀγαπᾶν. περὶ ταῦτα οὖν εὔτονοι καὶ δριμεῖς γίνονται, ἅτε ἐπιστάμενοι ἐκ παίδων καὶ μελετήσαντες λόγῳ τε θωπεῦσαι δεσπότην καὶ ἔργῳ ὑπελθεῖν, διαβαλεῖν τε ὁμοδούλους καὶ ἐξελάσαι τῆς οἰκίας· καὶ ταῦτα πάσχουσιν ὑπ' ἀμηχάνου σοφίας πολλὰ καμπτόμενοί τε καὶ λυγιζόμενοι, καταβάλλοντες ἢ ἐπαίροντες τὴν ὀφρῦν· ταπεινοὶ μὲν πρὸς τὸ ξυμφέρον, καὶ αὖ ὑπερηφανοῦντες θεῶν καὶ ἀνθρώπων. τοῖς τοιούτοις καὶ ἐμπέφυκεν αὐτοῖς ἀεὶ πρὸς τῷ ἀνελευθέρῳ

διαγωγῇ τεθραμμένοις δυσέκνιπτόν τι καὶ ἀμετάστατον μῖσος; καὶ διὰ τοῦτο ῥᾳδίως πρὸς ὁντιναοῦν φθόνου τε καὶ δυσμενείας ἐμπίπλανται. ὧν δὴ ἄλλα κακὰ καὶ ἀνοσιώτερα φιλοσοφίας οὐ μή ποτε ἐν ἀνθρώποις φύηται. αἰσχρὸν δὲ, Ἠλείους μὲν καὶ πασάτας οὕτω δή τοι ἀποσεμνύνειν τὸν ὀλυμπιακὸν κότινον, ὥστε μὴ ἐφιέναι γυμνοῦσθαι εἰ μὴ ἔχοι τις ἀποδεῖξαι πατέρα τε αὐτοῦ καὶ μητέρα, καὶ τὴν ῥίζαν τῆς βλάστης ἀκέραιον, καίτοι σωμάτων ἀγῶνα τιθέντας, ἐν ᾧ τῶν σωμάτων ἐξήρκει ἐπιμελεῖσθαι, εἰ ἰσχυρά τε καὶ ῥωμαλέως ξυμπεπηγότα. ἀλλὰ τόν γε Φιλάμμωνα ἐκεῖνον οὐκ ἄν ποτε ἐφίεσαν πρὸς τῷ Ἀλφειῷ κονίεσθαι, μὴ ξυμμαρτυρήσαντος Ἀριστοτέλους τῷ γένει καὶ παῖδα πιστωσαμένου· ἡμεῖς δὲ εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς καὶ ὅντινα ἔτυχεν εἰσκρινοῦμεν, οἱ δὲ ἀπαμφιάσαντες πρότερον, γυμνὴν τὴν ψυχὴν τῶν ἐπιθέτων ἀμφιεσμάτων περιαθρήσομέν τε αὖ μάλα καὶ περισκεψόμεθα ἀκριβῶς, μήποτε κολοβές τε καὶ οὐκ ἄρτιος. Λακεδαιμονίους δὲ ἐγὼ πυνθάνομαι τά τε ἄλλα τὸν Λυκοῦργον αἰσχύνειν, καὶ ἐπὶ τὸν βωμὸν τῆς Ὀρθίας ὁμοίως μὲν δούλους, ὁμοίως δὲ ἐλευθέρους ἀνάγειν, τόν τε εἵλωτα, εἰ τύχοι, τόν τε Εὐρυποντίδην, ἢ Ἀγιάδην. ἢ τοῦτό γε ἴσως οὐκ ἀπὸ τρόπου· μαστίγων γὰρ τὸ ἀγώνισμα καὶ ὁ στέφανος. προσακτέον δὴ τῷ λόγῳ καὶ ἀπὸ τῶν ἔργων τὴν πίστιν· πάντας γὰρ τοὺς κορυφαίους ἐν φιλοσοφίᾳ λάβοιτε ἄν, τοὺς προγόνους ἀνευρεῖν δυναίτης, διοτρεφεῖς τε καὶ διογενεῖς, καθάπερ Ὅμηρος λέγει, καὶ τῇ παροιμίᾳ πρέποντας τῇ ἀπὸ Κόδρου. καθάπερ οἶμαι καὶ τῶν ναμάτων τὰ διαφανῆ τε καὶ καθαρὰ αἰσχύνοντές τε καὶ διασμώμενοι, ἐκ πηγῶν ἀρχαίων ἐξευρίσκομεν ἀφειμένα. ἀλλ' ἵνα μή τις ἡμᾶς ἔτι που ἐναντίῳ παραδείγματι βουκολοίη, τοῦτο μὲν, εἰ δοκεῖ, ξυγχωρῶμεν, ὅτι χαλεπὸν μὲν, φύσιν δὲ ἔχει καὶ τοῦτο τῷ ἐλλείμματι μιανθέντα γίνεσθαι ἐπίβολον ἀρετῆς·

τὰ δὲ λοιπὰ ζητητέον σύμβολά τε καὶ γνωρίσματα, ἃ πᾶσα ἀνάγκη τῷ φιλοσόφου ἐγκεχαράχθαι τῇ διανοίᾳ μᾶλλον ἢ τοῖς Πελοπίδαις τὸν ἐλεφάντινον ὦμον. τί δὴ μετὰ ταῦτα ὁ πάνσοφος Πλάτων ἐπίσημον ποιεῖ τῆς τῶν ψυχῶν εὐγενείας; ἐγὼ ὑμῖν ἀναγνώσομαι ἐφεξῆς ἐκ τῶν ἐκείνου ῥημάτων, ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ ῥήτορες ἐκ τῶν τοῦ νόμου γραμμάτων. τοῦτο μὲν δὴ ὁμολογείσθω τῆς φιλοσό- »
φου φύσεως πέρι ὅ, τι μαθήματος δέοι, οὔτοι πάντες, ἀλλ' ὃ »
ἂν ἐκείνην δηλοῖ τὴν οὐσίαν τὴν ἀεὶ οὖσαν καὶ μὴ πλα- »
νωμένην ὑπὸ φθορᾶς καὶ γενέσεως. ἀκούετε οὖν τοῦ νομο »
θέτου διοριζομένου τὰ μαθήματα ὧν ἐραστὰς χρεὼν εἶναι τοὺς φιλοσόφους, καὶ μὴ ξυγχωροῦντος συγχεῖν μηδὲ ξυμφύρειν ἅπαντα ὥσπερ εἰς μύκωνον μίαν. καὶ γὰρ δὴ καὶ τοῦτο ἐκεῖνος ἀπεφήνατο, ὅτι ἀδύνατον ἕνα πολλὰς καλῶς ἐργάζεσθαι τέχνας· οἷον τὰ σκυτικὰ τὸν χαλκέα, ἢ τὰ χαλκευτικὰ τὸν σκυτοτόμον. ἀλλὰ καὶ τὴν οἰκίαν ἐκείνην ῥᾷστα ἀπανδήσειν ἣν οὐκ ἐπήξατο οἰκοδόμος, ὑφάνται δέ τινες ἢ ἀμπελουργοὶ ξυλλεγέντες· καὶ τὸν χιτῶνα ἐκεῖνον πράγματα παρέξειν ταῖς ἀκεστρίαις, ὃν γυνὴ ἐξυφαίνατο μὴ ἔμπειρος καὶ ἀμαθὴς ἱστουργίας. οὐδὲ μὴν τὸν κυβερνήτην, ναύτην τε ἅμα ἔσεσθαι καὶ κυβερνήτην· οὐδὲ τὸν ἰατρὸν, γυμναστήν τε καὶ ἰατρόν. ἀλλ' ἐπιστατεῖν μὲν ἀνάγκη καὶ ἐπιτάττειν τὸν μὲν τοῖς ἐρέταις, τὸν ἰατρὸν δὲ τοῖς παιδοτρίβαις, οὐκ εἶναι δὲ ἐρέτην τε καὶ παιδοτρίβην. ὥσπερ οἶμαι καὶ τοὺς φιλοσόφους ἐπιστατέον μὲν πᾶσι διδασκάλοις τε καὶ διδάγμασιν, οἷον ῥήτορσί τε καὶ γραμματισταῖς, αὐτοὺς δὲ τὰ ῥητορικὰ ἢ γραμματιστικὰ οὐκ ἐργαστέον. πῶς γὰρ ὄντι πολλοῦ ἂν γέλωτος γέμοι, τὸν τῆς ἀκραιφνοῦς καὶ ἀσωμάτου οὐσίας μεταποιούμενον, καὶ περιφρονοῦντα τοῦ ἀνθρώπου, προσκαθῆσθαι ταῖς συλλαβαῖς, καὶ ἐκμανθάνειν τῶν βίου συγκοπάς τε ὀνομάτων καὶ

ἀποθλίψας, καὶ ῥήματα ἀποσμιλεύειν, καὶ μειράκια ἀποτυμπανίζειν, καὶ παιδαγωγοῖς ἀθλίοις χαλεπὸν εἶναι· καὶ ἐπὶ ταύτῃ τῇ ἐξουσίᾳ ὑψηλὸν ἐξαίρειν αὐτὸν, φρονηματισμοῦ ἐμπιπλάμενον. ὁ δὲ ἀληθῶς φιλόσοφος, οὗ τὰ περιθαλῆ τῆς ψυχῆς, σχολῇ ἂν ἀνάσχοιτο βλέπειν εἰς πατταλους τε καὶ ἱμάντας. οἴεσθε γὰρ, εἴ τις ἀμφότερα δύναιτο ποιεῖν, τό, τε ἄμεινον καὶ τὸ φαυλότερον, ἐπὶ τῷ φαυλοτέρῳ ἂν ἑαυτὸν ἐφεῖναι σπουδάζειν, καὶ τοῦτο προσκλίνασθαι τῷ αὐτοῦ βίῳ, τὸ βέλτιον καταλιπόντα; ὅταν δέ τινα ἴδητε διοικούμενον μὲν ὡς κορυφαῖόν τε καὶ ἄκρον φιλοσοφίας, προεστηκότα δὲ οἷς ἄρτι εἶπον καὶ προσεδρεύοντα, καὶ μηδέποτε ἀφιστάμενον, μηδ' ἂν ἰδίως ἰδίᾳ αὖ ἀνάγκη προσπέσῃ, εὖ ἴστε ὦ ἄνδρες, ὅτι ἐξαπατᾷ ὑμᾶς, καὶ πρόσωπον Ἀγαμέμνονος ὑποκρίνεται, Μίθαικός τις ὢν ἔνδοθεν ἢ Θεαρίων. ὑμεῖς οὖν αὐτῷ μὴ ξυγχωρῆτε, μηδὲ φενακίζεσθε λογαρίοις ὀλίγοις κεκομψευμένοις, ἃ μηδὲν προσήκοντα ὑποσπάσας καὶ περικρούσας τε καὶ μεταμορφώσας, ὥσπερ ὁ Αὐτόλυκος τὰ φώρια, τὰ αὐτὰ πανταχοῦ ξυμπεριφέρει, κυδρούμενός τε καὶ γαυρούμενος πρὸς τοὺς ἀγνοοῦντας αὐτὸν τὸν ἀληθινὸν δεσπότην· ἀλλ' ὧδε αὐτὸν ἐρωτᾶτε πυνθανόμενοι, ὦ ἄνθρωπε, ἐπειδὴ φιλόσοφος εἶναι τὴν ἀκροτάτην φιλοσοφίαν ποιῇ, ταύτην μὲν ἂν βουλοίμεθα καὶ τοῦτο ἡμῖν τὸ ἀγαθὸν ἄφθονον ἐν τῇ πόλει κατασκευάσασθαι· ἀλλ' ὥσπερ εἴ σε ἰατρεύοντα ἑωρῶμεν, οὐκ ἂν δή που σοὶ εἰκῇ τὰς οἰκίας ἐπιτρέψαιμεν, οὐδὲ τὰς γυναῖκάς τε καὶ τὰ παιδία, εἰ μὴ πρότερον ἐπέδειξας ἡμῖν ὅτι πολλοὺς μὲν ὑγιεινοὺς ἐκ νοσερῶν ἀπειργάσω, πολλούς τε ἐξ ἀναπήρων ἀρτίους· ἀπέδειξας δὲ καὶ φαρμάκια ἄλλα συγκείμενα, καὶ ποτὰ ἐσκευασμένα ἐμπείρως τε καὶ ἐπωφελῶς, καί τινας δὴ καὶ μαθητὰς καὶ διαδόχους τῆς τέχνης (τούτων γὰρ τὰ μὲν, ἔργα ἰατρικῆς, τὰ δὲ, δείγματα·

κρίνεται δὲ ἐξ ἀμφοῖν πᾶσα ἐπιστήμη) τοῦτί δὴ τὸν τρόπον καὶ νῦν, ὦ γύναι, λέγε πρός με τί ποτ' ἡμῖν ἔργον τι σεαυτοῦ, οἷα πολλὰ ἔργα φιλοσόφου ἀνδρός. πότε χρημάτων διδομένων κρείττων ἐφάνης, ὥσπερ Ξενοκράτης ἐκεῖνος τῶν πεντήκοντα παρ' Ἀλεξάνδρου ταλέντων; πότε ἀφῆκας τῷ δεδανεισμένῳ, καθάπερ Ζήνων ὁ κιτιεύς; ποίαν ὑπέσχες λοιδορίαν, οἵαν Σωκράτης τὴν Θρασυμάχου; πότε διετάσω χάριτας ἐμμίσθους ἀρχόντων, ὥσπερ Θεόφραστος τὰς παρὰ τοῦ Φαληρέως; ἀλλὰ τούτων μὲν οὐδὲν, ἡδονῶν δὲ ὑπερφρονεῖς, οὐδὲ ἑταιρίων πόρνας, οὐδὲ ἑταιρειῶν ἑάλως, οὐδὲ ἐποιήσω τοὺς αὐτοὺς νέας τε καὶ οἰκέτας· ἀλλ' οἷα πολλὰ μὲν νέων, πολλὰ δὲ παλαιῶν φιλοσόφων δόγματα ἐπὶ τῆς σοφίας, συγγράμματα οὕτω σοι πεποίηται σμικρὰ ἢ μεγάλα περὶ ἀρετῆς καὶ κακίας, ἢ περὶ φύσεως τῶν ὄντων, ἢ ὅπη τὸ ἀληθὲς διαφέρεσθον καὶ τὸ ψεῦδος. ἢ τί δὴ πρὸς τῶν Μουσῶν; ἀλλὰ δὴ εἰ μὴ συγγράμματα, μαθητάς γε ἀπειργάσω τινάς, τέτταρας, ἢ τρεῖς, ἢ δύο, ἢ ἕνα, τὸν δεῖνα ὅς σε αἰτιᾶται τῆς αὐτοῦ φιλοσοφίας. εἰ ταῦτα ἅπαντα περιττινόμενα ἀποροίη, ἢ τι αὐτῶν ἀποδεῖξαι, ἀλλὰ βαθιαρίζοι τε καὶ ὑλακτοίη, μηκέτι θαυμάζειν τε καὶ πιστεύειν ὡς ἄρα ὁ Διὸς Ἑρμῆς καταλιπὼν τὸν Δία τε καὶ τὸν οὐρανὸν, σηκία μικρὰ περιθέμενος ἐν τῇ πόλει ἡμῖν περινοστεῖ, μηδ' ἂν μυρία ἐπὶ μυρίοις ὀνόματα εἴρη βιβλίων τε καὶ συγγραφέων. ταῦτα γάρ οἶμαι ἔνεστι καὶ τοῖς γραμματεῦσι τῶν φιλοσόφων ἐπισταμένοις μηδὲν τι μᾶλλον τῶν λοιπῶν ἀνδραπόδων ἐπὶ σοφίᾳ διαφέρειν. ἐπεὶ καὶ εἴπης φιλοσόφῳ χρόνον τινὰ ξυνοικήσαι, γράφοντι συνεχῶς καὶ ἀναγινώσκοντι προσκαθίζων, ὀλίγα ἐκ τῆς γραφῆς συνερανίσαιτο ῥήματα, καὶ ταῦτα συγκολλᾶν πειρῷτο ἀεὶ καὶ συρράπτειν πρὸς ἕκαστα, λέγε μηδὲν ἐοικότα· οἷαι τῶν προσαιτούντων αἱ ἐφεστρίδες συμπεπαρτοίηνται ἐκ ῥακίων

νεουργῶν τε ἅμα καὶ πεπειμμένων. εἴπης οὖν καὶ ἐπὶ τῇ συλλογῇ κορυβαντιᾷ καὶ ἐξέστηκεν, ἐλέγχειν τε αὐτὸν τῆς πλωχείας τε καὶ παροινίας, καὶ ἐννοητέον ὅτι οὐ ταύτῃ τὸν πλούσιον γνωματεύομεν, εἰ δακτύλιον ἀπαιτήσει. ἐμφαίνεται γὰρ ἀλαζὼν ἡ πενία τῇ ἐπιτηδεύσει τε καὶ ἐπιδείξει τοῦ κτήματος, ὅτι τούτῳ τῷ ἀνθρώπῳ οἴκοι ἄρχει ὑπάρχει οὐδὲν ἕτερον τοσοῦτον λυσιτελέστερον ἀγαθόν. οὐ γὰρ φορτικῶς γε οὕτω δακτυλίθοις ἐκαλλωπίζετο. διὰ τί οὖν ἔτι μὲν ἡμᾶς οὐκ ἀπατῶσιν; ἀλλ' οὐδὲ ὀρχηστὴν ὀνομάζομεν τὸν σχηματίζεσθαι ἀδυνατοῦντα σοφῶς καὶ ποικίλως, οὐδὲ κιθαριστὴν, τὸν οὐκ ἐπιστάμενον κιθαρίζειν· σοφὸν δὲ πειθόμεθα εἶναι καὶ τὸν μὴ ὄντα; ὅτι τὰ κρούματα μὲν, οἶμαι, καὶ τὰ ὀρχήματα ὠσί τε καὶ ὀφθαλμοῖς δοκιμάζεται, καὶ ἐξαρκεῖ αὐτοῖς τὰ ὄργανα ταῦτα τὸ σφέτερον ἡδὺ καὶ λυπηρὸν διαγινώσκειν· σοφία δὲ κρίνεται ἐπὶ σοφίας. ἐπεὶ οὖν ἡμεῖς οἱ πολλοὶ ὦτα μὲν κεκτήμεθα καὶ ὀφθαλμοὺς, σοφίαν δὲ οὐχ οὕτως, πάνυ τῇ ἀπειρίᾳ τῇ ἡμετέρᾳ ἐπιτίθεται αὕτη ἡ γοητεία· καὶ αἰσθανομένη ξένως ἔχοντας ἡμᾶς τῆς σοφωτέρας διαλέκτου, συσκευασαμένη ῥηματίσκια παμπάλαιά τε καὶ αἰνιγματώδη ὑπὸ χρόνου ἐκπαταγεῖ ἡμῖν τὰ ὦτα· τὸν ἄτοπον πυθιῶα ἔπεισι, καὶ τὰ μυστήρια, καὶ τοιαῦτα ἄλλα μορμολύκεια· ὥστε τοὺς ἀκούοντας φρίττειν τε καὶ ἀδημονεῖν, καὶ μικροῦ γίνεσθαι ἀναύδους, καθάπερ φασὶ τοὺς ὑπὸ λύκου προτέροις ὀφθέντας. εἰ δὲ δὴ καὶ ἔρεσθαι ἐπιχειρήσεις, μὴ συνεὶς ὅ, τι εἴρηκεν, ἑτέρῳ πεπλήξῃ ὀνόματι, δυσκολώτερον ὠνομασμένῳ· περανεῖς δὲ οὐδέποτε οὐδὲν, οὐδὲ αὐτὸς, οὐδὲ ὁ λέγων ἐκεῖνος· ἀλλ' εὖ μάλα ἀνακυκλήσας τὸ δήπουθεν, καὶ τὸ κἄπειτα, καὶ τὼ Διοσκόρω, οἰχήσεται ἀποτρέχων, καταγελάσας σου πάνυ τῆς ἀμαθίας καὶ γωθείας. ὥσπερ οὖν περὶ τὰ χρώματα ἀπατῶνται ῥᾷον οἱ μὴ πάνυ ὀξὺ βλέποντες,

οὕτω περὶ τοὺς σοφιστὰς οἶμαι τούτοις, οἷς ἐκ παιδείας τὸ ὄμμα οὐ κεκάθαρται τῆς ψυχῆς. ἐπὶ τί δή ποτε πρὸς Διός, εἰ μέν τις ἀφίκοιτο εἰς τὴν πόλιν, ῥητορικὸς ποιούμενος εἶναι, οὐ πολλῶν ἡμῖν ἐνιαυτῶν προσδεήσει ὥστε καταμαθεῖν ἀκριβῶς εἴτε ἀληθεύει τὴν τέχνην, εἴτε ἀπατηλός τε καὶ ἀλαζών; ὅτι, οἶμαι, εἰσὶ πολλοὶ παρ' ἡμῖν οἱ τούτων ἔμπειροι τῶν λόγων, οἳ αὐτοί τε ἐξευρίσκουσι ῥᾳδίως, καὶ ὑμᾶς πείθουσι τοὺς ἄλλους· σοφίαν δὲ αὐτοὶ μὲν οὔπω κεκλήμεθα, τῷ δὲ ἔχοντι αὐτὴν ἀπιστοῦμεν καὶ οἰόμεθα ὑπὸ ζήλου τε καὶ βασκανίας σκυβαλίζειν τε καὶ διαπτύειν ὃν ἡμᾶς διὰ ταύτην τὴν φαντασίαν μονονοὺκ ἐπὶ ταῖς κεφαλαῖς περιφερόμενον, πόρρω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς σοφὸς δύσνοις ὢν ὁμοίως· ἀλλὰ τῷ οὐ κατὰ νόμον μεμυημένῳ τὸν ναρθηκοφόρον Βάκχον ἡγεῖσθαι οὐ συγχωρεῖ τὰ μυστήρια. διὰ ταῦτα δή ποι ὧν ὁ λόγος μεταβέβηκεν ἐφ' ἕτερον τῶν γνωρισμάτων, μάλιστα καὶ τοῦτο ψυχὴν ἐξετάζον φιλόσοφόν τε καὶ μή. ἐπισκήψει γὰρ ἡ κοινωνική τε καὶ ἥμερος πρὸς τοὺς παιδείας ἐπιθυμοῦντας, ἢ δυσκοινώνητος δὲ καὶ ἀγρία, χαλκέας καὶ τέκτονας. εἰ δὲ βούλει, καὶ ποιητάς τε καὶ τοὺς ἄλλους δημιουργοὺς συγχωρῶμεν, ἐάν τις λέγῃ στασιάζειν τε καὶ ἐπιφθόνως λέγειν πρὸς ἀλλήλους. τὰ γὰρ ἆθλα αὐτοῖς τῶν τεχνῶν, τῷ μὲν, ἀργύριόν ἐστι, τῷ δὲ, ἔπαινος πρὸς τῷ ἀργυρίῳ· ὧν οὐκ ἐγχωρεῖ ἐξ ἴσου τὸν ἐλαττούμενον ἐπαυρίσκεσθαι. ἀνάγκη οὖν τῷ μεῖον ἔχοντι πρὸς τοὺς εὖ φερομένους τὸ πλέον ἀγανακτεῖν τε καὶ ἀνιᾶσθαι. ὅσοι δὲ πρός τι ἐναμιλλῶνται γνησίως τε καὶ ἀληθινῶς, καὶ ταύτην τρέφουσι τὴν ὠδῖνα ἐν τῇ ψυχῇ, οὗτοι ἀσπάζονται καὶ γαννύσκονται καὶ ἐμπίπλανται χαρμονῆς, ὅσῳ ἂν λάβωσι πλείους κοινωνούς τε καὶ βοηθοὺς ἐπὶ τὴν θήραν τῶν παιδικῶν. ἐρῶσι γὰρ καὶ ἐν ταῖς ἄγραις, ὅτι τῷ μὲν καταμόνας ἰχνηλατοῦντι

ργῶδες ἐντυχεῖν τῷ θηρίῳ, τοῖς πλείοσι δὲ ὁμοῦ κυνηγέταις ῥᾷον κατάφορος ἡ δίνη. ἔστι δέ που καὶ ἐν τῷ κυνηγεσίῳ τῆς ἀληθείας πολλὰ δύσβατα καὶ ἐπίσκια, καὶ ὧν καθ' αὑτὸν μετιόντι δυσδιερεύνητα, ἐφ' ἃ ἀνάγκη πλείους ἄρα καλεῖν συνθηρευτάς τε καὶ συλλήπτορας· ἢ πάλαι ἐπὶ τὸν σῦν συνελέγησαν οἱ τότε ἄριστοι τῶν ἑλλήνων, ὃς τὰ ἔργα τοῦ αἰτωλῶν βασιλέως ἔφθειρέ τε καὶ ἐλωβᾶτο. ἤδη δὲ τοῦ θηρίου μὲν ἀπιόντος ἐγίνετο τοῖς θηρευταῖς περὶ τῶν ἀκρωτηρίων διαμάχη τε καὶ ἀμφισβήτησις, καὶ ἐντεῦθεν ὁ πόλεμος ἐξερράγη ἀκαρνᾶσί
» τε καὶ αἰτωλοῖς Ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι. ἐκφανέντος δὲ ἐν φιλοσοφίᾳ καὶ ἐκλάμψαντός τι τοῦ ἀληθοῦς, ἀναιμωτὶ πάντες ἀπολαύουσιν οἱ συλλαβόμενοι τοῦ ἔργου. διὰ τοῦτο ἠσπάζετο Ἀρίστων Κλεάνθην, καὶ τῶν ὁμιλητῶν ἐκοινώνει, διὰ τοῦτο Κράντορα Κράτης. διὰ τοῦτο Σπεύσιππος ἐκ χαλκηδόνος μετεπέμπετο Ξενοκράτην. Λύκων δὲ καὶ Ἀρίστων ὁ ἐκ λυκείου, ἄμφω μὲν περὶ τοὺς Ἀριστοτέλους λόγους εἰχέτην, ἐν δόξῃ δὲ ὢν ὁ Λύκων ἐπὶ παιδείᾳ τοσαύτῃ, ὥστε καὶ τοὺς πολεμίους διὰ τὸ κλέος ἐν τῇ θαλάττῃ καθάπερ ἱερῶν ἀπέχεσθαι τῶν Λύκωνος πλοίων, ὅμως οὐκ ἐδυσχέραινε πρὸς τὸν Ἀρίστωνα τοῦτον, οὐδὲ ἐκνίζετο ἐκ προεδρείας μᾶλλον ἐπιδιδόντα, ἀλλὰ συνωμολόγει μετὰ παιδιᾶς καὶ χαρίτων, ὅτι ὁ χωλὸς τὸν ἀρτίποδα παρατρέχει. συνέβη γὰρ τῷ Ἀρίστωνι καὶ πεπηρῶσθαι τὸ σκέλος. ταύτῃ τοι καὶ αἱ Μοῦσαι ἐννέα οὖσαι συγχορεύουσιν ἀλλήλαις καὶ τῷ Ἀπόλλωνι, καὶ οὐδεμία αὐτῶν ἀγανακτεῖ πρὸς τὰς ἄλλας ὅτι μὴ μόνη σοφή ἐστι, μηδὲ αὐτῇ μόνῃ προσεύχονται οἱ ποιηταί· οὐδὲ μεταποιεῖται τῆς κιθάρας ἡ Καλλιόπη, οὐδὲ ἡ Θάλεια τῶν αὐλῶν, οὐδὲ τῆς λύρας ἡ Τερψιχόρη· ἀλλ' ἑκάστη τὸ αὐτῆς ἀγαπᾷ συμβάλλεσθαι εἰς τὸν χορὸν καὶ συνεισφέρειν, καὶ ἄ-
» δουσιν, ἀμειβόμεναι ἀλλήλας, φησὶν ὁ ποιητής· οὐ κολούουσαι

καὶ βασκ


καὶ βασκαίνουσι, καὶ ἀντηχοῦσι. ἀλλ' οὐχὶ παράξενοι οὗτοι καὶ ψευδώνυμοι· ἀλλ' ἐάν τις ὑπὸ φιλολογίας, καὶ ἅμα οὐκ ἔχων ἕτερόν τι περιεργάζεσθαι, ἐν τῷ δωματίῳ τῷ αὑτοῦ καὶ τῷ κλινιδίῳ διαβουκολεῖται Ἀριστοτέλει καὶ Θεοφράστῳ, ὀξέως τε ἐπύθοντο, καὶ ἐπαράμενοι πᾶσαν τὴν πόλιν, ἐπικαλοῦνται τοὺς βασιλέως ὀφθαλμούς. εἰ ἀναπνεῖ ἔτι καὶ εἰς τὸν ἥλιον ἀφορᾷ ὁ μιαιφόνος καὶ ἀλιτήριος καὶ πατραλοίας καὶ φαρμακεύς. καὶ ἡ μεγίστη κατηγορία, ὅτι ἐπέθετο, φησί, ταῖς κατηγορίαις, καὶ διηλέγχθη περὶ τοῦ ἐν ὑποκειμένῳ πρός τινα ξένον. εἰ δὲ δὴ καὶ συλλογισμοῦ ἅψοιτο, καὶ περὶ φύσεώς τι συγγράψαι, τοῦτο ἐκείνῳ ἐπανάστασις τὸ χρῆμα, καὶ καθαιρετέον ἐξ ἀκροπόλεως τὴν τυραννίδα. ἀλλ' εἰ καὶ προσποιῇ τις τὴν ἀλήθειαν καὶ τὴν σοφίαν, καί σοι τῷ ὄντι προσήκει Πλάτωνος ἢ Σωκράτους ἢ Πυθαγόρου, μὴ κεντεῖν τε καὶ διολλύειν τὸν τὰ αὐτὰ ἀγαπῶντα, ἀλλὰ κυδαίνειν τε καὶ ἐπαίρειν καὶ συνεξορμᾶν καὶ συνεξορμαίνειν. οὕτω γὰρ μάλιστα ἴοι καὶ οὐκ ἀμβλυώσσοιτο οὐδὲ ἀπολήγοι τοῦ ἔρωτος, ὅταν ἔχῃ τὸν ἐπαινοῦντα καὶ ἐπιβοῶντα, καὶ πρὸς ὃν φιλοτιμήσηται ἐκ τῶν πόνων. νῦν δὲ ὑπὸ τῆς δεινότητος τῆς περιττῆς ἔοικας εὐλαβεῖσθαι μή τινα ἄλλον ἐπαινέσας, ἀφίστασθαι δόξης σαυτῷ τῆς σοφίας, καὶ μή τινα ἄλλον θαυμάσας, ὑφ' ἑτέρου αὐτὸν θαυμάζεσθαι παρασκευάσῃς· εἶτα παύσωνται οἱ ἄνθρωποι πρὸς σὲ μόνον ὁρῶντες, καί σε μόνον θαυμάζοντες. διὰ τοῦτο ἂν μέν τινα αἴσθῃ καταγέλαστον καὶ τοῦ παντὸς ἡμαρτηκότα, τούτῳ καὶ εὐμενὴς καὶ φιλάνθρωπος, καὶ ἄγασθαι οὐκ ὀκνεῖς τὴν σοφίαν ἰδίᾳ τε καὶ δημοσίᾳ· ὅταν δέ τινα θαυμάσωσι μὲν οἱ ἄνθρωποι, θαυμάσῃς δὲ αὐτὸς ἔνδον ἐν τῇ καρδίᾳ, τηνικαῦτα ἡ δυσμένεια καὶ τὸ νέφος κατὰ τοῦ προσώπου, καὶ τὸ βλέπειν ἐχθρῶς οὐ μόνον τὸν ἐπαινούμενον, ἀλλὰ καὶ τοὺς ἐπαινοῦντας. ὡς

οὐδὲν ἄρα ἄλλο χαλεπώτερον τίκτει ψυχὴ νόσημα φθόνου τε καὶ βασκανίας· καὶ μᾶλλον ὅσωπερ ὁ νοσῶν ὀξύτερον βλέπει μὴ τὰ πρὸς αὐτὸν μόνον καὶ τὰ ἐγγύς, ἀλλὰ καὶ τὰ πόρρω καὶ τὰ μακρὰν ἀφεστῶτα. ἐγὼ δὲ προσεῖχον Ἡσιόδῳ τῷ ποιητῇ, χυτρέα χυτρεῖ κοτέειν, καὶ ἱπποποιὸν ἱπποποιῷ· νῦν δὲ ἤδη τινὲς ὑπὸ θράσους μεταβαίνουσιν ἐκ τῶν τάξεων ἀναμὶξ δι' ἀγκύλων ἱππόται. τάττετε οὖν αὐτοὺς ἵναπερ καὶ ἐτάχθησαν ἐξ ἀρχῆς, καὶ μὴ συγχωρεῖτε ἐπιχειρεῖν γυμνοῖς τε καὶ χαμαιζήλοις ἀναβεβηκόσι τε καὶ εὖ πεφραγμένοις. ἀλλ' εἴπερ ἄρα ἀκρατῶς ἐπιθυμοῦσι τῶν σεμνοτέρων ἀγωνισμάτων, καταλιπεῖν μὲν τὰ λαισήια καὶ τεκτιδέας καὶ τὴν γευναίαν, λαβεῖν δὲ ἀσπίδα ἀληθινήν, οἵαν Ὅμηρος τὴν Νέστορος λέγει, τὴν ἀκήρατον καὶ χρυσῆν καὶ τοῖς κανόσι συνηρμοσμένην· ἢ οἵαν Ἥφαιστος ἐχαλκεύσατο Ἀχιλλεῖ, ἐν ᾗ γῆ καὶ θάλασσα καὶ οὐρανός, ἥλιός τε ὅπως καὶ σελήνη ἐξ ἐναντίας, τά τε λοιπὰ σύμπαντα ἄστρα, καὶ ἔτι τὰ ἀνθρώπεια πράγματα, οἱ πολεμοῦντες, οἱ γεωργοῦντες, οἱ χορεύοντες, οἱ γαμοῦντες, οἱ ποιμαίνοντες, οἱ δικαζόμενοι. ἀλλ' ὁρᾶτε ὅτι τηλικαύτην ἀσπίδα οὔτι παντὸς ἀνδρὸς ἐνεγκεῖν, οὐ μὴν οὐδὲ τὸ οἷον εἰς κόρινθον πλεῦσαι, ἀλλὰ τοῦ Πηλείδου τε καὶ Αἰακίδου τοῦ τεθραμμένου παρὰ Χείρωνι τῷ σοφῷ. ὅστις δὲ φυγάς τε ὢν καὶ ἀσθενέστερος τῶν ὅπλων ὅμως ὑπὸ φιλοτιμίας ἀποπειρᾶται, οὗτος τὸ μὲν πρῶτον παραφανεὶς διεπτόησέ τε καὶ διετάραξε τοὺς ἀντιπάλους, καὶ τινες ἀλλήλοις περιέπεσον ἐν τῷ ταράχῳ· ἀκμάσαντος δὲ τοῦ ἀγῶνος, καὶ καταστάσης τῆς μάχης, διηλέγχθη καὶ ἐγυμνώθη τῶν ἀλλοτρίων πραγμάτων. βασκανίαν μὲν δή, τούτων ἕνεκα καὶ ἔτι πλειόνων κακῶν, ἀποκριτέον καὶ φυλακτέον· καὶ ὅσα δὴ εὖ εἰσήκηται προσιοῦσα, τὴν κῆρα ταύτην ἀπελαύνειν τε δεῖ, καὶ ἐκβάλλειν τοῦ τῶν ἱερῶν, εἰς

χαλεπώτερον λύκης τὸ νόσημα κεκλημένον. τέταρτον δέ τί ποτ' εἶναι φασὶν τὴν ἀψευδίαν, καὶ τὸ ἑκόντας εἶναι μηδὲν μηδαμῆ προσδέχεσθαι τὸ ψεῦδος, ἀλλὰ μισεῖν, τὴν δὲ ἀλήθειαν στέργειν. ἄγαμαι οὖν ἐγὼ καὶ ταύτῃ τὸν νομοθέτην, οἷα θρίγκον περιβάλλει τὴν σοφίαν εἰς πάντα ἀλήθειαν. σκοπῶμεν δὲ μικρὸν ἀναλαβόντες. ἔστι που τἀληθὲς καὶ τὸ ψεῦδος πολὺ μὲν ἐν τοῖς μαθήμασι καὶ διδάγμασι, πολὺ δὲ ἐν συμβολαίοις καὶ συναλλάγμασιν. ὁ οὖν μηδενὶ μηδαμῆ τῷ ψεύδει πάροδον ἀφιείς, μή τι ὑμῖν δοκεῖ συγχωρεῖν μέρη μέν, ὥστε τὰ ἄρτια καὶ περιττὰ ἀληθεύειν, καὶ περὶ τὰς πλευρὰς γε οὖν καὶ τὰς διαμέτρους· περὶ δὲ ὠνὰς ἢ πράσεις καὶ τὰ λοιπὰ κοινωνήματα διαψεύδεσθαι, καὶ ἐξαπατᾶν τοὺς κοινωνοῦντας, καὶ γράφοντας ἐν τοῖς γραμματείοις ἑκατὸν μνῶν ὠνεῖσθαι, τὰς πέντε καὶ εἴκοσιν ἀποστερεῖν; καίτοι τὸ μὲν ἐν τοῖς μαθήμασι ψεῦδος, αὐτῷ μόνῳ βλαβερὸν τῷ ψευδομένῳ· τὸ δὲ ἐν ταῖς πράσεσι, καὶ ἡ κατ' ἄλλου ἀδικία. τί γὰρ ἡμῖν διαφέρει πρὸς τῶν θεῶν εἴ τις ἑαυτὸν ἐξαπατᾷ, ὅτι τὰ ἐν τόπῳ Ἀριστοτέλης οὐκ ἔν τισι λέγει, ἢ ὅτι Πλάτων εἰς τετάρτην ψυχὴν διαβιβάζει τὰς τιμωρίας, ἤ τινα ὅμοιον λῆρον ἄλλον. ταῦτα γὰρ οὐδέν, ὦ μακάριοι, πρὸς ἡμᾶς, ἐὰν μὴ πέμπωμεν ἐκεῖ μαθησόμενα τὰ παιδία. ἀλλ' ἐὰν ἃ μήποτε ἤκουσεν ὀμνύοι λέγειν ἀκηκοώς, καὶ ῥᾷον ἐπιορκοίη Λυσάνδρου τοῦ σπαρτιάτου, καὶ μηδέποτε ὁμοφωνοίη τῇ γλώττῃ πρὸς τὴν διάνοιαν· ταῦτα ἄρα τὰ ψεύδη βλαβερὰ φαμὲν τοῖς εἰς τὸ παιδαγωγεῖον ἀφικνουμένοις, ἢ πᾶσιν ὅσοις διὰ τὴν συνοίκησιν ἀναγκαῖον ἢ λόγου τινὸς τῷ βίῳ δὲ ἢ ἔργου κοινωνεῖν. οὐδεμία γὰρ μοχθηρία μᾶλλον δυσκοινώνητος ἀπιστίας, ἀλλ' αὕτη ἐστὶν ἡ κακία πρὸς ἣν μόνην καὶ φυλακῆς ἐξαποροῦμεν. καὶ γὰρ δὴ ὃ μόνον ἐπορισάμεθα φυλακτήριον, (λέγω δὴ τὸν ὅρκον καὶ τὴν

ἐπίκλησιν τῶν θεῶν) τούτῳ αὐτῷ μάλιστα καταχεῖται εἰς τὸ ῥᾷον διαλανθάνειν· καὶ γελοῖον μὲν τὸ στυγὸς ὕδωρ, γελοία δὲ ἡ νὺξ ἐκείνη, λῆροι δὲ οἱ ταρτάρειοι δαίμονες, λῆρος δὲ αὐτὸς ὁ τάρταρος, ὅταν δέῃ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. διὰ ταύτην οὖν τὴν διπλῆν καὶ θηρίου γίνεται ἄνθρωπος δυσμεταχειριστότερόν τε καὶ ἀγριώτερον. ἀκούομεν γὰρ σχετλιαζόντων τῶν ποιητῶν ὅτι ὄφιν μὲν ἐν
« οὔρεσι καὶ λέοντα θηρητὴρ ἀΐων τε καὶ εἰσορόων ἀλέ-
« οιτο. γνωστὴ μὲν γὰρ τῶν τοιούτων βουλή, γνωστὸν δὲ νόημα.
« ἀνὴρ δὲ ἄλλα κέκευθεν ἐνὶ φρεσίν, ἄλλα δὲ βάζει. μῦθοι μὲν
πέλειοι καὶ μείλιχοι, ἐχθρὰ δὲ ἔργα ἐπιβουλεύουσι καὶ συνοικοῦσι καὶ περισαίνουσι. δεινὴ δὲ ἡ παρρησία, τὸ πρὸς πάντα ἴσα μῶς ἔχειν, ὅσα μέσῃ τῇ ἀγορᾷ καὶ ὅσα ὑπὸ μὲν τοῖσιν ἕλλησί τε καὶ βαρβάροις ἔγραψέ τε καὶ ἐπεκλώσατο. ὅτι μὲν δὴ τὸ κακόηθες ψεῦδος πάμπαν ἐξελατέον φιλοσόφου ψυχῆς. ἔστι δέ τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους οὐ πάνυ δή τι λυμαίνεται, αἶσχος δέ ἐστι τοῦ χρωμένου. γίνεται γὰρ οὐκ ἐν τῷ περὶ θατέρου τι λέγειν ἢ πράττειν, ἀλλ᾽ ἐν τῷ περὶ ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ διχοειδές. ἢ γὰρ ἐν τῷ φαυλοτέρῳ καὶ ἐλάττω λέγειν τῶν προσόντων ἀληθινῶς, ἢ ἐν τῷ μείζω τε καὶ σεμνοτέρῳ· καλεῖται δὲ τὸ περὶ ἐνδεέστερον, εἰρωνεία· τὸ δὲ πλέον, ἀλαζονεία. τὸ μὲν δὴ ἐλλεῖπον τοῦ ἀληθοῦς κομψόν τέ ἐστι καὶ αἱμύλον, καὶ ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ. καὶ διὰ τοῦτο καὶ Σωκράτης παρελάμβανε τοῖς λόγοις, ὁπότε ἐδεῖτο ἐπισκώψαι τινὰ σοφιστὴν τύφου μεστὸν καὶ γέμοντα, περὶ σωφροσύνης. μᾶλλον γὰρ αἰσθάνονται τῆς ἑαυτῶν οὐδενείας, ὅταν ἀμαθέστεροι διεξελέγχωνται τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον, τὸ ὑπερβάλλον, βαρύ τε καὶ ἐπαχθές· καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικὸν ὡς ὁ καθ᾽ ἑαυτοῦ ἔπαινος, καὶ ταῦτα ἐπὶ παιδιᾷ, ἐφ᾽ ᾗ καὶ ἀλ-

λων ἐπαινούντων ἐρυθριᾶν χρεὼν τοὺς ἀληθινοὺς αὐτῆς ἐπηβόλους. χαλεπὸν μὲν γὰρ καὶ χρηματιστῇ συγγενέσθαι οὐδὲν ἐθέλοντι ἐπαινεῖν ἀλλ' ἢ τὸν πλοῦτον, καὶ τὰ κυμβία, καὶ τὰ ῥυτὰ, καὶ τὴν πορφύραν, καὶ τὰ χρυσία· ἀποκναίσειε δ' αὖ καὶ στρατιώτης ἀλαζὼν καὶ οἷος ἐν τῇ κωμῳδίᾳ· ἀλλ' οὐδὲν οὕτω πλήσμιον καὶ ἐμποιοῦν πολλὴν ναυτίαν ὡς τὸ ἄγασθαι καὶ ὑπεράγασθαι ἀγχίνοιάν τε ἑαυτοῦ καὶ ὀξύτητα καὶ εὐμάθειαν καὶ πολυμάθειαν καὶ μνήμην, βιβλία δὲ ἐξαριθμεῖσθαι τόσα καὶ τόσα τῶν Ἀριστοτέλους ἢ Πλάτωνος, ἀεί τε δὴ καὶ ἐφ' ἅπαντι, κἂν συλλουσόμενον παρακαλῇς, κἂν συνδειπνήσοντα ἄγῃς, κἂν ὑπὲρ Αἰσχύλου πυνθάνῃ, κἂν ποία νῆσος Σιμωνίδου τοῦ μελοποιοῦ. οὐδὲ προσειπεῖν τοὺς τοιούτους ἄνευ τῆς δυσχερείας ταύτης ὑπάρχει, ἀλλ' εὐθὺς ὑπηχεῖ τὸ Δωδωναῖον χαλκεῖον, αἱ δύο καταφάσεις, καὶ ὅτι οὐ συνάγει οὕτω τὸ δεύτερον σχῆμα. οὐ μὲν δὴ δωροδόκον γε ἐατέον τὸν ἄνδρα, οὐδὲ φιλοκερδῆ τε καὶ φιλοχρήματον· ἢ πᾶσαι αὐτοῦ αἱ τῆς ψυχῆς ἐπιθυμίαι ἀπὸ τῶν μαθημάτων ἐκεῖσε ἀποχετεύσονται, ὥσπερ ῥεῦμα ἐπὶ τὸν προσανέστερον τόπον. ἀλλ' ὅσα μὲν σὺν δίκῃ παραλάβοιεν ἐκ πατέρων, τούτων προσορᾶσθαι καὶ ἐπιμελεῖσθαι χρεὼν, ὑπηρεσίαν φιλοσοφίας κτωμένους· αὐτοὺς δὲ πλοῦτον οὐκ ἐργαστέον, οὐδ' εἰς τὴν οἰκίαν παραδεκτέον τὸν ἑτοιμόν τε καὶ βρύοντα ἐκ τῆς ἀγορᾶς. οὐ γὰρ ἔχει φύσιν τοῦ ἔνθεν ῥέοντος καθαρὰς εἶναι τὰς πηγὰς καὶ δικαίας, ἅτε οὐχ ὑπὸ σκαπάνης ἢ δικέλλης ὀρωρυγμένας, ἀλλ' ἔκ τινων ζοφερῶν τε καὶ ὀλεθρίων πόρων διὰ σκότου τε καὶ ὑπονόμων συλλεγομένας. εἰ δ' ἄρα τὸν νόμον ἔτι διασπῶμεν, οὐκ ἐπιτρέψομεν τοῖς φιλοσοφεῖν προσποιουμένοις δικῶν τε γίνεσθαι ἐργολάβοις, ἢ ἀποκλείσαντας τὰ μουσεῖα περικυλινδεῖσθαι τῷ βήματι



διαπληκτιζομένους καὶ λοιδορουμένους ῥήτορσιν ὁμοῦ καὶ σκαπώταις, οὐδὲ ὑπομένειν ὅσα καὶ οἷα ὑπομένουσιν οἱ ἐπὶ ταύταις ταῖς ἐργασίαις νυκτηγρετοῦντές τε καὶ διημερεύοντες ἐν ταῖς δίκαις, ἐνίοτε ἐν ταῖς εἰς τοὐπίσω ἀποστερούμενοι τὸν μισθὸν, ὅταν ἕλωνται οἱ μισθωσάμενοι τὰς εἰρηνικὰς συναλλαγάς. πολλοῦ δὲ δεῖ συγχωρήσομεν αὐτὰ τὰ μουσεῖα δικαστήρια καθιστάναι, καὶ πρότερον ποιεῖν τοῦ δικαίου τὰ ἀνδράποδα τῶν Μουσῶν, καὶ ἀναφύρειν τοὺς μανθάνοντας τοῖς δικαζομένοις· οὐδὲ τὸν περσικὸν νόμον αἰσχυνομένους, ὃς διεχώρισε τῆς ἀγοραίου τύρβης τὰς ἐλευθέρους διατριβάς. οὐκ ἐπιτρέψομεν δὲ οὔτε οἰκίαν οἰκοδομεῖσθαι εἰς ἣν οὔτε μεταλλέας ἐμισθώσατο, οὔτε τέκτονας, οὔτε οἰκοδόμους. ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, Χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος. οὐδὲ λιμῷ ἄγχειν δημιουργούς, μηδὲ ζωγράφους εἰργνύναι, ὅτι μὴ δύνανται τὰ φάρμακα ἐπαλείφουσιν. ἀφήσομεν δὲ οὔτε ἀγρὸν δωρεὰν λαβόντας ὑπὸ τῶν οἰκείων διαμάχεσθαι τῷ δεδωκότι, οὐδὲ τὸν κύαθον ποιεῖν ἀμφορέα, περιτεμνομένους ἀεὶ τῶν πλησίον· καθάπερ δή ποτε λέγεται Καρχηδονίους, χωρίον ἰσομέτρητον βύρσῃ παρὰ Λιβύων αἰτησαμένους, εἰς λεπτὸν ἱμάντα κατατεμόντας τὴν βύρσαν, πολυπλασιάσαι τὴν δωρεάν· καὶ νῦν ἔτι Καρχηδόνιοι Βύρσαν τὸν τόπον ἐπονομάζουσιν, εἰρωνευόμενοι τῇ σμικρότητι τοῦ ὀνόματος πρὸς τὸ μέγεθος τοῦ χωρίου. εἰ γὰρ ὦ φίλοι τὰ τοιαῦτα ἡμῖν ὁ φιλόσοφος σπουδῇ ἀγαπήσει, καὶ καταπινεῖται ὑπὲρ μιᾶς βώλου τοὺς γειτνιῶντας, πότε οἷός τε ἔσται εἰς ἅπασαν τὴν γῆν ἐνιδεῖν; πότε τὸν ὅλον περιαθρῆσαι; πότε σμικρὰν ὑπολαβεῖν σὺν τῇ θαλάττῃ τριῶν ἢ τεττάρων πολέων, μερμήρεια κακὰ ἐργαζόμενον; πάντα γὰρ ἡ τοιαύτη ἀνανδρία σμικρᾶς τε καὶ ἀνελευθέρου ψυχῆς, καὶ σφόδρα τὸ ὄσχεον τοῦτο ἡμεδόσης. καὶ δὴ καὶ ἐφ' ὅτοις καλλωπίζονται ὡς

κομψοῖς καὶ δεινοῖς καὶ πανούργοις, πλειστηριάζειν τε καὶ ὑποφωνεῖσθαι, ἀποστερεῖν δὲ τοῦ συμπαθόντος, καταδεῖν τε ἀναφύκτοις ἄρκυσι τοὺς θεατὰς, τοῦ μὴ τὸ ἔλλειμμα ἀποπληρῶσαι. εἰ δὲ δὴ συμβαίη τῷ οὕτω φιλοχρημάτῳ καὶ ὁμιλητὰς προσφοιτᾶν, θριξὶν ὀλίγαις καθάπερ ἰχθῦς δελεασθέντας, ἰχθύων μὲν ἔσονται ἀναυδότεροι, μισθὸν δὲ ὅμως εἰσπράξεται ὁ διδάσκαλος τῆς ἀφωνίας, διαβειμφόμενός τε καὶ τὴν αἰγίδα πυκνὰ ἐπισείων, μεταστρέφων τοὺς θεατὰς ἔνθεν καὶ ἔνθεν, μὴ παράσημοί τε καὶ ἐνδεεῖς, καὶ παιδάρια δυστυχῆ περισπαταλώων, ὑπὸ πενίας καὶ ὀρφανίας πολλάκις ἐξαπορούμενα τοῦ μισθοῦ. εἶτα ἀπὸ τοῦ ῥυτῆρος ἐξελθὼν διαλέξεται ὅτι πᾶς ὁ ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. καὶ τί γὰρ ὁ πλοῦτος; πρᾶγμα γήϊνον καὶ ἐπίκηρον. καὶ ταῦτα ἐρεῖ παρεστηκότων ἐπὶ τυχὸν μειρακίων, ἃ ἀνηλεῶς κατεχόρδευσεν ἐν τοῖς βασάνοις, ὅτι ῥύπου τι πρόσεστιν τῷ νομίσματι, καὶ οὐκ εἴσεται ὅτι ὁ λόγος, ἂν μὴ τῷ τρόπῳ σύμφωνος ᾖ, ἀλλότριος γίνεται, καὶ οὐ τοῦ λέγοντος· ὥσπερ ὁ Θερσίτης ἔλεγε τοῖς ἀχαιοῖς, Ὅν κεν ἐγὼ δήσας ἀγάγω. — οὔτις γὰρ Ἀχιλλέως καὶ Αἴαντος ἦν, ὁ κουφὸς δὲ αὐτὸν οὐδὲν προσήκοντα ὑπεβάλετο. ταύτῃ τοι καὶ κλαυθμυρίζεται ὁ γυνάδας καὶ ὑψηλολόγος καὶ ἀριστεὺς, καὶ μαστιγοῖ αὐτὸν ὁ σοφώτατος τῶν ἀχαιῶν, ἵνα μὴ λάλος καὶ περίεργος ᾖ καὶ ἐπεσβόλος, καὶ δυσμεναίνῃ τοῖς ἀριστεῦσι, καὶ θορυβῇ τὰς ἐκκλησίας. ἀλλὰ γὰρ ἐν καιρῷ ὁ Θερσίτης αὐτόματός ποθεν εἰσερρύη τῷ λόγῳ, καὶ ἔδωκεν αὐτῷ ἀψοφητὶ μεταβῆναι εἰς ἕτερον τόπον. κακηγόρους γὰρ δὴ καὶ περιέργους καὶ πολυπράγμονας οὐδὲ τοὺς ἀκολούθους τῶν φιλοσόφων ἐάσομεν εἶναι, ἀλλὰ πάντων μάλιστα ἀναγκάσομεν ἐκεῖνα τοῦ Πλάτωνος καταμανθάνειν τε καὶ ἐπίστασθαι. οὐδὲ γὰρ εἰ κακῶς τι γένοιτο ἐν τῇ πόλει, ἤτοι τι κακόν ἐστιν ἐκ περι-

χρόνων γεγονὸς, ἢ περὶ ἀνδρῶν, ἢ περὶ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. σοφὸς γὰρ ἦν Αἴσωπος ὁ μυθοποιὸς, ὃς ἔφη τοὺς ἀνθρώπους δύο πήρας ἕκαστον φέρειν, τὴν μὲν, ἔμπροσθεν, τὴν δὲ, ὄπισθεν· γέμειν δὲ κακῶν ἑκατέραν, ἀλλὰ τὴν μὲν ἔμπροσθεν, τῶν ἀλλοτρίων, τὴν δὲ ὄπισθεν, τῶν αὐτοῦ τοῦ φέροντος. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται. ἐγὼ δὲ ἐβουλόμην περιτετράφθαι μοι τὰς πήρας, ἵνα τὰ ἐμαυτοῦ μόνον ὁρῴην, τὰ τῶν ἄλλων δὲ μὴ δυναίμην. οὐκ ἔστι γὰρ, φασὶ, γλυκερώτερον ἢ πάντ' εἰδέναι. καὶ ἐγὼ φημὶ τἀγαθά. οἷα δὲ λέγει ὁ μάγειρος ὁ κωμῳδικὸς, οὐδὲ ἐκεῖνα πάνυ ἐλυσιτέλει πυνθανομένῳ, ἀλλ' ἀπέτειβε τοὺς δαιτυμόνας, ἐξαλλάττων τὰ ἡδύσματα. ἀλλ' οὐκ ἐνταῦθα Καρίωνος τὸ κακὸν τὸ μέγα, ὅτι μοχθηρὰ ἡ τέχνη αὐτοῦ καὶ ἀλλόκοτος, ἀλλ' ὅτι πονηρὸς ἄνθρωπος ἦν, καὶ ἐπὶ οὐκ ἔργῳ εἰς τὰς οἰκίας παρερχόμενον, ἀλλ' ἵνα λαλήσῃ καὶ ψιθυρίσῃ καὶ διαβάλλῃ, καὶ διενέγκῃ οὐχ ὅσα μάγειρον εἰκὸς μαστιγίαν, ὃς δικαίως ἐκρέματο ἂν οὕτω τύχῃ, διὰ τὴν χρηστὴν φιλομάθειαν, ἐν τῇ συνειδήσει· ἀλλὰ καὶ τὰ ἀπόρρητα τῆς οἰκίας, οὐδ' ὅσα ἀκήκοε μόνον, ἀλλὰ πολλὴ ἡ προσθήκη, καὶ ἡ τῶν κακῶν ἐποικοδόμησις. ἀλλ' ὦ μοχθηρὲ καὶ ἀπόπληκτε Καρίων, ἀκήκοας ὅτι ὁ δεῖνα λιβανωτοῖς τοῖς θεοῖς ἔθυσε, λέγεις οὖν ὅτι λιβανωτόν. μόνον γὰρ τοῦτο ἀκήκοας, καὶ μὴ ὅτι παμμέλανας ταύρους, μηδὲ ὅτι κριοὺς ἐκτομίας. σὺ δὲ καὶ εἴδωλα καταλέγεις, ὅσα ἐκίνησε τὸν Πλάτωνα γοητεύσας. ἔπειτα ἂν μὲν ἀγαθόν τι πύθῃ, στεγανός εἶ καὶ Ἀρεοπαγίτου σιωπηλότερος· ἐὰν δέ τινος κακοῦ ἐπιλάβῃ, Ἰλιάδα ἐξ αὐτοῦ ποιεῖς καὶ Ὀδύσσειαν, πολλὰ οὔτ' αὐτὸς ἀκούσας, οὔτε παρακούσας, ἀλλ' αὐτὸς τεκὼν, καὶ αὐτὸς ὑφήνας. ἔπει-

τὰ ἄχθη δῆθεν πρὸς τὸν εἰπόντα, κακοδαίμονά τε καὶ θεοῖς ἐχθρὸν ὀνομάζων, καὶ ἀπιστεῖν προσποιῇ, καὶ ἀγανακτεῖς, καὶ σχετλιάζεις. ὅμως δὲ τὰ μὲν ἄπιστα καὶ σχέτλια καὶ ὀργῆς ἄξια λέγεις τε καὶ ἐκτραγῳδεῖς, καὶ ἐμπίμπλης αὐτῶν μονονουχὶ τοὺς νευρορράφους καὶ τοὺς βαλανέας· τὸν δὲ κακοδαίμονα ἐκεῖνον καὶ θεοῖς ἐχθρὸν, ᾧ πάνυ χαλεπαίνεις, καὶ πρὸς ὃν πάνυ ἀγανακτεῖς, ἐάν τις πυνθάνηται καὶ ἐκλιπαρῇ, ἥκιστ' ἂν εἰς φῶς ἀπάγῃς ἢ τὴν μητέρα Πριάμου. ὅτι, οἶμαι, αὐτὸς ἐκεῖνος ὑπάρχεις αὐτὸς ὁ ποιητὴς καὶ ὑποκριτὴς τῶν δραμάτων· ὀκνῶν δὲ αὐτοπρόσωπος ἀγωνίζεσθαι, ἐπὶ τὰ ἀνώνυμα πρόσωπα καταφυγγάνεις, ὥσπερ ἐν ταῖς τραγῳδίαις ὅταν ὀνομάτων ἀπορῶσιν οἱ ποιηταί. πολλάκις δὲ ὅλην ἄρας τὴν μηχανὴν, θεούς τε καὶ δαίμονας τῷ δράματι ἐπεισάγεις. ἢ γὰρ οὐ τοιοῦτόν τι πρὸς Διὸς ἡ κατὰ τῶν ὀνειράτων συκοφαντία· καὶ, ὡς ἔοικεν, ὁ λυσιμελὴς ὕπνος καὶ ὁ πανδαμάτωρ τοὺς μὲν δήμους κακούργους κατακοιμίζει, τῷ κακηγόρῳ δὲ ἀφορμὴ γίνεται τῆς μοχθηρίας, καὶ εἰ μέν τι αὐτῷ χρυσὸν καὶ ἄφθιτον ὄναρ ἐπιστῇ τῇ κεφαλῇ, ἀδιήγητόν τε ὄντως ἐστὶ καὶ διὰ τῶν ἐλεφαντίνων ἥκει πυλῶν· τοῖς δὲ λοιδόροις τε καὶ βασκαίοις ἀναπεπταμέναι εἰσὶν αἱ πύλαι κεράτων. μᾶλλον δὲ οἱ μὲν ὄνειροι οὔτε ὄκνουσιν οὔτε βούλονται, αὐτοὶ δὲ ἕλκουσι καὶ προσδέχονται. καὶ ἀκούσῃ ἔσθ' ὅτ' ἀνδρὸς κακηγόρου σκυθρωποῦ τε καὶ συννεφοῦς, ὅτι πρᾶγμα ἔσχεν ἐν τῇ νυκτὶ τῇ προτέρᾳ ὑπὸ τῶν δαιμόνων, ὅτι συνεβάδιζε τῷ δεῖνι, καὶ συνεχθίσθη ἀνδρὶ μεγίστῳ τε καὶ θρασεῖ, καὶ τὰ καὶ τὰ ἐργαζομένῳ· καὶ δέος μὴ καὶ σύμπασα ἡ πόλις ἀπολαύσῃ τι κακὸν τοῦ ἀνθρώπου. ἆρα ὑμῖν ὁ τοιοῦτος ὕπαρ τι καὶ ὄναρ δοκεῖ ἄν ποτε δυνηθῆναι, ἀφέμενος τοῦ σκαιοῦ τε καὶ ἐπαριστεροῦ τρόπου, ἐπὶ δεξιὰ ἀναβάλλεσθαι, καὶ λαβὼν ἁρμονίαν λόγων ἀληθινὴν, ὑμνῆσαι βίον θεῶν καὶ ἀνθρώπων, οἷα καὶ Ὁμήρῳ Ἀχιλλεὺς ᾄδει, ἡνίκα ἀπόμαχος ἦν

ἢ μᾶλλον οἷα καὶ αὐτὸς Ὅμηρος; ἴστε γάρ που ὅτι Ὅμηρος πάντα ὅσα ὀνομάζει, καὶ ἐπαινεῖ, καὶ οὐδὲ τὰ πάνυ φαῦλα ἀπαξιοῖ τῆς ἀγαθῆς μαρτυρίας· ἀλλὰ καὶ τὰ παιδία αὐτῷ καλά, καὶ αἱ μάστιγες ἅπασαι φαειναί. ὑπεράγαται δὲ καὶ φυτὸν ἐν Δήλῳ πεφυτευμένον· καὶ οὐδὲ ὁ συβώτης αὐτῷ ὁ χρηστὸς ἀμοιρεῖ ἐν τοῖς ἔπεσιν εὐφημίας, ἀλλὰ πειρᾶται πείθειν ἡμᾶς ὅτι ὁ συφορβὸς τῶν ὑῶν ὄρχαμος ἦν τῶν ἀνθρώπων. Θερσίτῃ δὲ ἄρα ἐλοιδορήσατο μόνῳ, ὅτι, οἶμαι, αὐτὸς ἐκεῖνος λοίδορός τε ἦν καὶ ὑβριστής, καὶ ἔπη πολλὰ ἄκοσμα ᾔδει, καὶ οὐκ ἐν τάξει αὐτοῖς οὐδὲ ἐν κόσμῳ ἐχρῆτο·

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΥ πατέρα, λόγος δεύτερος.



ΡΗΝΟΥΣ μὲν δὴ ᾄδειν καὶ ὀδυρμοὺς οὔτε ὑμεῖς ἐᾶσιν φατέ, καὶ οὐ ξυγχωρεῖ φιλοσοφία· ἀλλ' ὁπότε αἴσθοιτο βαπτιζόμενόν τε ὑπὸ τῆς ὀδύνης, καὶ εἰς δάκρυα καταφερόμενον, χαλεπαίνει τε καὶ ἀπειλεῖ δεινὰ ἄττα με ἐργάσεσθαι καὶ αἴσχιστα, διαγράψειν μὲν εὐθὺς τοῦ πατρῴου κλήρου· οὔτι λέγω τῆς γῆς τε καὶ τῶν ἀγρῶν καὶ τῶν ποιμνίων, (ἀλλ' οὐκ ἐγὼ πάνυ γλίχομαι καὶ μεταποιοῦμαι, καὶ ἐπιχαίρω κληρονομεῖν μόνος τῶν ἀδελφῶν) ἐξαλείψειν δὲ τοῦ καταλόγου τῶν ζακόρων τῶν ἑαυτῆς. ἀνάγκη οὖν ἱστάναι μου τοὺς ὀφθαλμοὺς ὥσπερ σίδηρον ἢ κέρατα, καθάπερ ἐποίησεν Ὅμηρος τῷ Λαέρτου παιδὶ πεπηγέναι τὰ ὄμματα, τὸν οἶκτον ἐπικρυπτομένῳ τῆς γυναικός. καίτοι Ὀδυσσεὺς μὲν καρτερίας οὐχ ἱκανῆς ἔτι ἐδεῖτο, μέλλων οὐκ εἰς μακρὰν ἀπολαύσεσθαι τῆς Πηνελό-

της σὺν παρρησίᾳ. σὺ δὲ ὦ πάλαι μοι πατέρων, νῦν δὲ θεῶν ἀγανώτατε, πότε αὖθις ἐπισυνεσόμεθα; εἰ γάρ τι δεῖ φιλοσοφίᾳ πιστεύειν, ἡ σὲ διαπροθυμούσασα ἔναγχος τῆς μακαρίας πορείας, ἐπανήκουσα ἐκεῖθεν ἡμῖν ἀπαγγελεῖ ὅτι ὁπητίκα ὡς τάχιστα τοῦ δεσμοῦ τῆς φύσεως ἀπελύθης, οὐκ ἀπορρήξας οὐδὲ ἀποσπάσας ἔτι κατέχοντας, ἀλλ' αὐτοῦ χαλάσαντος καὶ ἀνέντος, αὐτίκα ἠΐξας μετέωρος ἄνω πρός τε αἰθέρα καὶ οὐρανὸν, τὴν ξυνωρίδα τῶν ἀθανάτων ἵππων ζευξάμενος, οὓς ἐν χρόνῳ τοσῷδε ἅμα ἔτρεφες καὶ ἠτίταλλες, συνεξορμᾶν ἐθίζων καὶ ἄνω ἵεσθαι ἀμφοτέρους, καὶ μὴ τὸν μὲν ὑψοῦ ἕλκειν, τὸν δὲ κάτω βρίθειν τὸ ζυγόν. ὅθεν τανῦν οὔτε κέντρων οὔτε χαλινῶν ἐδεήθης πρὸς τὸν ἀλαζόνα ἵππον καὶ ὑβριστὴν, ἀλλ' εὐμενής τε καὶ τῷ ὁμοζύγῳ πράως ἔχων συνδιῆρες τὸ ὄχημα· καί σε ἐδέξατο ἱερὰ θεῶν ἀγορὰ καὶ δῆμος ἀγαθῶν δαιμόνων, ἀφυμνοῦντές σε καὶ περιαπαιλάντες καὶ ἀσπαζόμενοι, ὅτι σφίσιν ἐκτελέσας τὸ χρέος οὗ σε ἕνεκα ἔστειλαν ἐπὶ γῆς, ἀκέραιος αὖθις καὶ ἁγνὸς ἐπανήκες· καὶ οὔτε ἔμπροσθεν οὔτε ὄπισθεν μόλυσμα ἐξηῦρεν ὁ Ῥαδάμανθυς ἢ Μίνως ἐνεστιγμασμένον τι καὶ ἐγκεχαραγμένον τῇ ψυχῇ· καθίζουσί σε παρὰ Σωκράτει καὶ Πλάτωνι, ἄγοντες καὶ τὰ σὰ παιδικὰ τὸν θεῖον Ἀριστοτέλην. καὶ ἐνθάδε ἐν τῇ μετοικήσει συνεῖναι τὰ πολλὰ ἐπεχείρεις, καὶ οὐκ ἐξήρκει τὸ σῶμα ἀποφράττειν τὴν συνουσίαν οὕτω πόρρωθεν ὄντων τῶν παιδικῶν. εἴπου νῦν σε ἐκεῖνος, ὦ θεία κεφαλὴ, κυδαίνει τε ὑπὲρ τοὺς ἄλλους καὶ ἀγαπᾷ, καὶ οὐκ ἔχει ὅ,τι χρήσεται ὑπὸ χαρμονῆς, ἀποτιννύων τὰ χαριστήρια τῆς προφητείας ἣν προεφήτευσας Ἀριστοτέλους λαμπρότερον, ἢ Βάκις τε καὶ Ἀμφίλυκος τοῦ Λοξίου καὶ τῆς σοφίας, ἣν ἐκεῖνος ἐξευρών τε καὶ ἐξασκήσας ζόφῳ ἐκάλυψε, καὶ ἠμφίεσεν ἀσαφείᾳ· φροντίσας μήτε βασκῆναι τοῖς

ἀγαθοῖς, μήτι ῥίψαι εἰς τὰς περιόδους, συγγνωματεύων τοῖς ἐπαξίοις, περιῄρει τε αὐτοῖς τὸν ζόφον, καὶ ἐγύμνου τὰ ἀγάλματα. ὥστε ὁ μὲν ἄρτι προσιὼν τοῖς ἀδύτοις, φρίκης τε ἐνεπίμπλατο καὶ ἰλίγγου, ἀδημονία τε εἴχετο καὶ ἀπορίᾳ συμπάσῃ, οὐδὲ ἴχνους λαβέσθαι οἷός τε ὤν, οὔτε ἀρχῆς ἡστινοσοῦν ἐπιδράξασθαι εἴσω φερούσης. ὁπότε δὲ ὁ προφήτης ἐκεῖνος, ἀναπετάσας τὰ προπύλαια τοῦ νεώ, καὶ τοὺς χιτῶνας περιστείλας τοῦ ἀγάλματος, καλλύνας τε αὐτὸ καὶ ἀποσμήξας πανταχόθεν, ἐπεδείκνυ τῷ μυουμένῳ μαρμαῖρόν τε ἤδη καὶ αὐγῇ καταλαμπόμενον θεσπεσίᾳ, ἥ τε ὁμίχλη ἐκείνη καὶ τὸ νέφος ἀθρόον ὑπερρήγνυτο, καὶ ἐξεφαίνετο ὁ νοῦς ἐκ τοῦ βάθους, φέγγους ἀνάπλεως καὶ ἀγλαΐας, ἀντὶ τοῦ πρότερον σκότου· Ἀφροδίτη δὲ παρῆν δᾳδουχοῦσα, καὶ Χάριτες συνεθίγγανον τῆς τελετῆς. τὸ μὲν οὖν πρόσωπον καὶ τὸ σχῆμα ὅλον μονονοὺ δῆθεν ἐπῆν Ἀριστοτέλους τοῖς μυστηρίοις· ἅπαντα δὲ ὅμως συνανεῴγνυτο τῶν σοφῶν τὰ ἀνάκτορα, καὶ συνεπώπτευσας ἂν τὰ ἱερὰ καὶ ὅσα Πυθαγόρας ὁ σάμιος ἐξ αἰγύπτου ἐκόμισεν εἰς τὴν ἑλλάδα, καὶ ὅσα ὕστερον ἐν τῇ ποικίλῃ στοᾷ Ζήνων ὁ κιτιεύς. τὰ μὲν γὰρ Πλάτωνος τοῦ μεγάλου ἀγχίθυρά τε ἀεὶ ἀπεδείκνυε καὶ ἐν τῷ αὐτῷ περιβόλῳ· καὶ οὐδὲ μετημφιέννυτο τὴν στολήν, μεταβαίνων εἰς τὴν ἀκαδημίαν ἐκ τοῦ λυκείου, ἀλλὰ πολλάκις Ἀριστοτέλει προθύσας, εἰς τὴν Πλάτωνος ἔληγεν ἱερουργίαν, ἅμα μὲν θυραῖον προτέλειον, ἅμα δὲ θριγγόν τε καὶ φυλακτήριον. ἐπιβάτου γὰρ οὔσης ἔτι καὶ ἐπιδεχομένου τοῖς σοφισταῖς, τειχίσαι τε Ἀριστοτέλει καὶ περιφράξασθαι καὶ πανταχόθεν ἀποκλεῖσαι τὰς ἐπιβουλὰς τῶν δογμάτων, τοὺς δὲ πολλοὺς ὑπὸ ὄκνου καὶ ῥαθυμίας ἀφράκτους τε ἐθέλειν καὶ ἀναλείφους διαγωνίζεσθαι. ὅθεν πολλάκις θυραία δόξα καὶ ἰσχυρὰ ὑπὸ ἀσθενοῦς καὶ φαύλης ὑποσκελιζομένη τε καὶ σφαλ-

λωμένην παρόντας ἀμύνειν, μὴ δύναται ἐπαμύνειν. πρὸς μὲν δὴ Πλάτωνα τὸν σοφὸν οὔτε αὐτός ποτε ἐστασίαζεν, οὔτε Ἀριστοτέλης ῥαδίως ᾤετο· Ἐπίκουρον δὲ τὸν Νεοκλέους κομψὸν μὲν ἡγεῖτο, καὶ τῶν ἀτόμων οὐκ εἶναι πόρρω· εἰσελκυσμένῳ δὲ αὖ αὐτὸν πολλάκις ὅσον ἐπιδεῖξαι τοῖς ἀγνοοῦσιν, ὡς τάχιστα ἀπέπεμπεν ἐκ τοῦ καταλόγου, μύρον κατὰ τῆς κεφαλῆς καταχέας, ἅτε ἐραστοῦ τῆς ἡδονῆς. τούτοις μὲν καὶ μακρὰν ἀποσκηνοῖ τῆς ἑτέρας, ἀλλ' οἷον εὐρείας ὁδοῦ καὶ μεγάλης σμικραὶ διασχίσεις τε καὶ ἀπονεύσεις αἱ μὲν πλεῖον, αἱ δὲ ἔλαττον παρελθοῦσαι, εἰς ταυτὸν ὅμως πέρας συνθέουσιν. ἀλλ' ὁπότε Ὅμηρον τὸν ποιητὴν εἰσκαλεῖ τε καὶ ἐξένιζεν ὡς προπάτορα καὶ ἀρχέγονον τῶν Ἀριστοτέλους καὶ Πλάτωνος λόγων, τότε αὖ ἀκριβῶς ἐδεήθης τῆς Ὁμήρου φωνῆς, ὥστε εἰπεῖν λαβὼν παρ' ἐκείνου, Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος « καὶ τίμιός ἐστιν. οὐδὲ γὰρ τῆς σκηνῆς ἀπείχετο τῆς ἀρχαίας « οὐδὲ τοῦ θεάτρου, ὡς παντάπασι βεβήλων καὶ ἀλλοτρίων φιλοσοφίας· ἀλλὰ θαμὰ μὲν Εὐριπίδης καὶ Σοφοκλῆς, Σαπφώ τε ἡ καλὴ καὶ Πίνδαρος ὁ γενναῖος συνεπήχουν τε καὶ συνωργίαζον. ὅθεν οὐδὲ μονόγλωττος ἦν, οὐδὲ φιλοσόφῳ μόνῳ ἐπιτήδειος ἀκροατής, ῥήτορσι δὲ ἀσύνετος ἢ γραμματισταῖς· ἀλλὰ τῶν μὲν ἄλλων, ὁπότε πειρῷντο ἐκ τῆς φιλοσοφίας τι λέγειν, χαλεπώτερον αὖ συνίει ἢ τῆς Περσικῆς διαλέκτου· ἐκείνου δὲ καὶ ἀμπελουργὸς ἀκούων καὶ σιδηρεύς, εἶχεν ὅ, τι οἴκαδε ἀποφέροι. καὶ οὖν ἄρχοντι μὲν τὰ ἀρχικὰ διελέγετο, πολιτικῷ δὲ τὰ πολιτικά, γεωργῷ δέ, ὁπόσα ἔχεται γεωργίας. γεωργίας μὲν δὴ καὶ σφόδρα ἦν ἐπαινέτης τε καὶ ἐραστής, καὶ τῷ φιλοσόφῳ ῥᾳστώνην ἐπὶ τοῖς πόνοις μόνην πρέπουσαν ἀπέφηνε τὴν γεωργίαν, καὶ μάλιστα γηρῶντι ἤδη καὶ ἐκλυομένῳ ὑπὸ χρόνου τῷ σώματι γυμνάσιόν τε ἱκανὴν εἶναι, καὶ γέμουσαν

σω προσιοῦσιν ἡδονήν. καὶ πολλάκις ἂν φοιτήσας παρὰ τὸν πρεσβύτην, κατέλαβες ἢ φυτεύοντα, ἢ περικαθαίροντα, ἢ μεταφέροντα, ἢ ὕδωρ διεξάγοντα ἐπὶ τοὺς ὀχετούς, ὥστε ἐπάρδειν τὰ φυόμενα· καὶ ὤρεξεν ἄν τι τῶν ὡραίων, καὶ περιαγαγὼν τοὺς ὀρχάτους, ἐπεδείξεν ἂν τῶν βοτρύων ὑπερφυὲς τὸ κάλλος καὶ τὸ μέγεθος, καὶ ἀνήγαγεν εἰς τὰς μητροπόλεις, ὥσπερ οἱ γενεαλόγοι τῶν σταφυλῶν εἰς τὰς ἀποικίας. ἦν δὲ καὶ ἀγρὸς αὐτῷ, ὃν αὐτὸς ἐποιήσατο, πηγάς τε ὕδατος ἐξηκούσας, οὔπω πρότερον φαινομένας, καὶ τὰ πολλὰ ἐπιμεληθείς, ὥστε καλὴν εἶναι καὶ πρέπουσαν φιλοσόφῳ καταγωγήν. ἐστὶν ὁ ἀγρὸς καὶ πάνυ οὐδὲ ἑλληνικὸν τοὔνομα. ὁ μὲν οὖν Ὀδυσσεὺς πρὸς τὸν ἑαυτοῦ πατέρα φησὶ τὰ μὲν φυτὰ αὐτῷ καὶ σφόδρα ἱκανῶς τεθεραπεῦσθαι, αὐτὸν δὲ οὐκ ἔχειν ἀγαθὴν κομιδήν, ὅτι ῥάκια ἠμφίεστο, καὶ φαῦλα ὑπέρραπτο ὑποδήματα. ἐγὼ δὲ ἐπίσταμαι τὸν ἐμὸν πατέρα ὅτι αὐτὸς περὶ τῶν φυτῶν ἐκαλλιουργεῖτο καὶ εὖ ἤσκητο, οὐκ ἐπειδὴ χλαῖναν ἠμφίεστο λεπτὸν καὶ ἀνήτελον, ἀλλ' ὅτι μὴ τὴν ψυχὴν ἀκόσμητον εἶχε, μηδὲ ἔμπλεων ἀγροικίας. οὐ γὰρ αἱ ἄμπελοι μὲν αὐτῷ καὶ ὁ κῆπος ἥμεροί τε καὶ ἔγκαρποι ἦσαν, τυφλὴ δὲ ἡ διάνοια καὶ ἀγρία. ἀλλ' οὐδὲ τὴν Ἀλκινόου ὀπώραν ἐπιβλαστάνουσαν συνεχῶς, οὐδὲ τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων εἴκασας ἂν μικρῷ ἐκείνου ῥήματι ἢ νουθετήματι. καὶ γὰρ δὴ οὐ καλλονῆς ἐφρόντιζεν ἐν τῷ λόγῳ μόνης, ἀλλ' ὥσπερ ἔφασκεν ἐν τῇ περὶ τὴν γῆν ἐργασίᾳ τοὺς τὰ ἄλση μόνα φυτευομένους πλατάνων ἀμφιλαφῶν ἢ κυπαρίττων, πυρῶν δὲ καὶ ἀμπέλων ἐξαποροῦντας, πλέον στοχάζεσθαι τέρψεως ἢ τροφῆς· οὕτω δὲ καὶ ἐν τοῖς λόγοις τοὺς ἡδονὴν μόνην θηρεύοντας, καὶ ὅπως κηλήσουσι τοὺς ἀκροωμένους, ἐξ ὧν δὲ τρέφεται ψυχὴ καὶ ἀμείνων γίνεται ἑαυτῆς, οὔτε εἰδότας λέγειν, οὔτε πειρωμένους· τούτοις δὲ οὐκέτι

εἶναι φιλοσόφους, ὥσπερ οὐδὲ ἐκείνους γεωργούς, ἀλλὰ κόλακάς τε καὶ θῶπας καὶ ὀψοποιούς, καὶ αὖ τι ἰατρῶν καὶ γυμναστῶν κομμώτας. καὶ μὴν ὅσοι τοὺς μὲν λόγους αὐτοῖς συνείροιεν καὶ ἀποστοματίζοιεν ἱκανῶς τοὺς ὑπὸ σοφίας παραγγελλομένους, τῶν δὲ ἔργων ἀμελοῖεν ὑπὲρ ὧν οἱ λόγοι· τούτους δὲ αὐτοὺς οὐδέ τινι ἐοικέναι ἐπεδείκνυεν, οἷον εἴ τις ὑγιαίνειν τὸ σῶμα αὐτοῦ ἐπιθυμῶν, φάρμακα μὲν συνάγοι καὶ βοτανίας ὁπόσαι ἱκαναὶ πειθόμεναι καὶ μιγνύμεναι ἀλλήλαις βοηθεῖν τῇ τοῦ σώματος πονηρίᾳ, καὶ σιδήρεια δὲ ἰατρικὰ φιλοτίμως κατασκευάζοιτο, ἔχοι δὲ λέγειν καὶ ὅσα Ἱπποκράτης ὁ κῷος καὶ ὅσα Ἐρασίστρατος καὶ ὅσα Διοκλῆς ἐν τοῖς συγγράμμασι παραγγέλλουσιν ὑπὲρ ὑγιείας· ὁπότε δὲ αὐτοῦ τὸ σῶμα εἰς ἀρρωστίαν ὑπενεχθείη, καὶ πάσης ἐκείνης ἀπολαύειν δέοι τῆς παρασκευῆς, ὁ δὲ τὰ φάρμακα μὲν καὶ τὰ σιδήρεια ἐάσει καὶ τὸν Ἱπποκράτην, κατακλινεὶς δὲ ἐπὶ στιβάδος ἐστρωμένης τάπησι καὶ πορφύρᾳ, καὶ τράπεζαν παραθέμενος σικελικήν, πίνει τε ἄδδην καὶ ἐγχεῖται, κόρης αὐτῷ τινος κορινθίας ἢ παιδὸς ἰωνικοῦ διακονουμένων. οὔτε γὰρ τούτῳ πλέον τι εἶναι τῆς κλήσεως ἕνεκεν τῶν φαρμάκων, οὔτε ὅστις τοὺς λόγους αὐτοὺς τῶν φιλοσόφων ἀναλαβὼν, καὶ ἱκανῶς ἐκμελετήσας, μὴ θέλοι ἔργῳ αὐτοὺς ἐκβεβαιοῦσθαι, οὐδὲ τούτῳ πλέον τι φιλοσοφίας μετεῖναι ἢ τῷ πρόσθεν ἐκείνῳ ἰατρικῆς. καὶ ἀθλητὴν δὲ ὁμοίως καταγέλαστον εἶναι, ὅστις ἐπιδεικνύμενος τοὺς ἁλτῆρας τε καὶ ἐξαριθμούμενος τὰ γυμνάσια, τοὺς ὤμους τε αὐτοὺς περιφέροι μαλθακούς τε καὶ ἀγεννεῖς, καὶ τὸν αὐχένα λυγίζοιτο ὑπὸ τρυφῆς τε καὶ ἀκρασίας· κἆτα εἰς τὸ στάδιον μὲν παριέναι ἀγωνιούμενος οὔτε δύναιτο οὔτε ἐθέλοι, καθήμενος δὲ ἐν βαλανείῳ καὶ ἐν ἀγωνίᾳ παιδικῆς παλαίστρας, πρὸς τοὺς λυομένους καταλέγοι τὰ παλαίσματα. τοῦτον οὖν τὸν τρόπον καὶ ἐπὶ φιλοσο-

φίας οὐχὶ λόγον χρῆναι ἐπίδειξιν ποιεῖσθαι, οὐδὲ ἐνθένδε ποθὲν τεκμαίρεσθαι ὅστις πόρρω ἥκει σοφίας, οἷον εἰ μετ' ἐπιστήμης διαιροῖτο τἀγαθά, καὶ φάσκοι τὴν ἀρετὴν μέγιστον εἶναι τῶν λοιπῶν, καὶ ὑπερφέρειν μακρῷ τὰ ἄλλα, τά τε τοῦ σώματος λεγόμενα, καὶ ὅσων ἔξωθεν τύχη βασιλεύει· ἀλλ' εἰ φρονείη τὸν τρόπον τοῦτον, καὶ προαιροῖτο, καὶ τὴν ἀγαθὴν πρᾶξιν ἀεὶ ἐπιπροσθεν ἄγοι τῆς χρήματα ἢ δόξαν φερούσης. ἄλλως δὴ ἔχοντα, τῇ μὲν γλώττῃ φιλοσοφήσει, τῇ καρδίᾳ δὲ οὐδαμῶς. τούτων δὲ ἁπάντων παράδειγμα ἀπέφαινε Σωκράτην τὸν ἀθηναῖον, ὃς οὔτε οἴκοι ὑπὸ Ξανθίππης λοιδορούμενος, οὔτε ὑπὸ Κριτίου καὶ τῶν τριάκοντα τυράννων ἀπειλούντων, εἰ μὴ μεταθήσεται καὶ θεραπεύσοι τὴν καθεστῶσαν πολιτείαν, ἀποκτενεῖν τε καὶ ἐξελαύνειν, καὶ αἴκιστα βιάσεσθαι, ὅμως οὐκ ἔδεισέ ποτε, οὐδὲ ἐξεπλάγη, οὐδὲ κίνδυνον ἄλλον ἐνόμισεν οὕτω δεινόν τε καὶ φοβερὸν ὡς τὸ κακὸν ἀντ' ἀγαθοῦ γενέσθαι, καὶ διασεβῆ ἀντ' εὐσεβοῦς. διὰ τοῦτο οὔτε Λέοντα ἤγαγε τὸν σαλαμίνιον, οὔτε ἐπιψηφίσαι κατεβιάσθη κατὰ τῶν ἀμφὶ Περικλέα καὶ Ἐρασινίδην καὶ Διομέδοντα στρατηγῶν· καίτοι οὕτω γε ὁ δῆμος αὐτὸς ἐπεκελεύετο, βοῶντες ἄνωθεν ἐκ τῆς ἐκκλησίας. ἀλλ' οὐδ' ὅτε κατεδίκασαν αὐτοῦ ἀθηναῖοι, οὐδ' ὅτε ἐν τῷ ξύλῳ ἦν, οὐδὲν ἀγεννὲς ἢ ταπεινὸν ἔπραξεν ἢ εἶπε πρὸς τοὺς ἑταίρους τοὺς εἰς τὸ δεσμωτήριον συνιόντας· ἀλλὰ περὶ ψυχῆς ἐφιλοσόφει, καὶ περὶ τῶν ἐν ᾅδου ἐξηγεῖτο, ὁπόσα μὲν ἀγαθὰ ἐκεῖ περιμένει, ὁπόσα δὲ κακίας τιμωρήματα καὶ κολαστήρια. τοιγαροῦν οὐκ εἰς μακρὰν ἀθηναῖοι μετέγνωσαν ἀμφὶ Σωκράτους, καὶ δίκην ἔπραξαν τὸν Μέλιτον τῆς δίκης ἐκείνης, καὶ ἔφυγεν Ἄνυτος ἐκ τοῦ ἄστεος, καὶ αὐτὸν κατέλυσαν διὰ Σωκράτην οἱ ἡρακλεῶται οἱ ἐν τῷ πόντῳ. καὶ νῦν δείκνυται αὐτοῦ τοῦ αὐτόθι σῆμα ἐν τῷ προαστείῳ. οὐ

τείῳ, οὐ μακρὰν θαλάττης, οὗ περιέβαλον τὸν Λύκον οἱ Ἡρακλεῶται. ταῦτα δὲ ἀπέφαινε καὶ τὰ ἑαυτοῦ καὶ ἄντικρυς παραπλήσια τοῖς Σωκρατικοῖς, καὶ ταῦτα πάντα ὑπομένειν τε καὶ ἀνέχεσθαι ῥᾳδίως, ὅτι δεῖ φιλοσοφίαν οὐ λόγῳ ἀλλ' ἔργῳ ἐλέσθαι. δίκαια μὲν δὴ καὶ οἱ πάλαι ἔπραξαν ἄνθρωποι ἐφ' Ἡρακλεῖ τῷ Διὸς καὶ Ἀλκμήνης, ἀποθειάσαντές τε αὐτὸν, καὶ ἱερὰ ἴδια κατασκευάσαντες, καὶ θυσίας θύοντες οὐ μόνον ὅσας ἥρωϊ θύειν καλὸν ἦν, ἀλλὰ ὅσας δαίμονι ἤδη, ἀλλὰ καὶ ὅσας θεῷ· ὅτι Ἡρακλῆς παράδειγμα ἐγένετο ἀρετῆς, καὶ τὴν γῆν ἅπασαν ἐπιφοιτήσας, τυράννων τε ὠμότητα καὶ θηρίων ἐκάθηρεν ἀλλοκότων. δοκῶ δὲ ὡς σφοδρότερον μὲν κάπρου κακία, βιαιότερον δὲ λεόντων, ἰταμώτερον δὲ πολυμόρφου κυνὸς, πολυκεφαλώτερον δὲ ὕδρας· ἄξιον δὲ εἶναι καὶ τοῖς τοῦτο τὸ θηρίον καταμαχεσαμένοις τε καὶ ἀσθενὲς ἀποδείξασι, τεμένη τε ἱδρύεσθαι δημοσίᾳ, καὶ ἱερέας καθίστασθαι. εἶναι γὰρ δὴ καὶ τούτοις οὐκ ἀπεικὸς ἐν τινι θείᾳ μοίρᾳ, τοῦ σώματος ἀπαλλαγέντας, ἐσθλοῖς, "
ἀλεξικάκοις, φύλακας μερόπων ἀνθρώπων. καί μοι δο- "
κοῦσιν οἱ θεοὶ, βουληθέντες αὖθις ἐνδείξασθαι καὶ ὑπομνῆσαι τοὺς ἀνθρώπους ἐς ὅσον ἀφικνεῖται ἀρετὴ ψυχῆς ἀνθρωπίνης, ὥσπερ τὸ παλαιὸν Ἡρακλέα, καὶ αὖθις Σωκράτη, οὕτω νῦν σε, ὦ πάτερ, διὰ μακροῦ χρόνου παραγαγεῖν καὶ φῆναι ἐπὶ γῆν. ἀλλὰ σὺ μὲν ὄλβιός τε καὶ εὐδαίμων πρὸς ὀλβίους τε ἀνέδραμες καὶ εὐδαίμονας τοὺς καταπέμψαντας· ἡμᾶς δὲ ἀπέλιπες ἐν τῷ κλύδωνι καὶ τῷ χειμῶνι τῆς ἄτης, οὐδὲ ἔχομεν ὅστις χεῖρα ἄλλος ὀρέξει ἀνακύπτειν τε πειρωμένοις καὶ ἐξαναδῦναι ποτὲ τῆς ἰλύος καὶ τοῦ βορβόρου. δεῖ δὴ λοιπὸν τὰ ἴχνη τὰ σὰ διώκειν, εἰ δὴ ἐκείνοις ποτὲ ἐμβιβάσαι καὶ τὰ ἡμέτερα δυνηθείημεν. καίτοι συχνά γέ μου ἀπεπειρῶ, καθάπερ οἱ ἀετοὶ τῶν νεοττῶν

εἰ δύναταί μοι στέγειν τὰ ὄμματα καὶ ἀνέχεσθαι τὴν αὐγὴν τῆς ἀληθείας· καὶ πολλάκις ἀπέπεμπες ἐλπίδος γεμούσας ἀγαθῆς· καὶ ἠγάννυσο καὶ ἐγεγήθεις ὅτι σοι γνησίους ἤλεγχον τὰς γονάς, πρὸς τὸν ἥλιον ἀσκαρδαμυκτῶν. οὐ δὴ οὖν τότε μὲν ἐχρῆν ἀνοίγειν τὼ ὀφθαλμώ, νῦν δὲ καταμύειν· ἀλλὰ καὶ ὑπὲρ τῆς ἀσπίδος ἢ ψήφου ἀγωνιστέον, ὡς μὴ παντάπασι πατρὸς φαίνοιτο, ἀλλὰ φιλοσόφου. ἐπαμύνοις δὲ αὐτὸς ἄνωθεν τῷ παιδί, καὶ ἐνστάξαις ὦ μάκαρ προσοιχομένῳ ἀλκήν τε καὶ ἀνδρίαν εἰς τὸν ἀγῶνα.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΦΙΛΙΑΣ, λόγος τρίτος.

ΤΙ δή ποτε ὦ μακάριοι, ἂν μέν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ἣν ἤλασεν ὑπὲρ Ἑλλήσποντον κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα, ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν, ἀρξαμένους ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν, καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστωνται πόλεών τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας καὶ τὰς ἀπ' αὐτῶν συμφοράς· τῶν δὲ ὑπὲρ φιλίας λόγων καὶ ὁπόσα ἀνθρώπους ὀνίνησιν, οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν, οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής· ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοι-

τὰ ἀγαθά. ὅστις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴστω σφόδρα ὀλίγου ἄξιος ὤν· ὅτῳ δὲ ἀπιστεῖν δοκεῖ, τῶν Θεόγνιδος ἀκουσάτω, Γαύρους εὑρήσεις παῖ δὴ ἄνδρας ἑταίρους πιστοὺς ἐν χαλεποῖς πράγμασι γινομένους. τί οὖν ἐστιν ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὲν οὐ ῥαθυμεῖτε, (φιλήκοοι γάρ ἐστε, καὶ πᾶν ἀκούετε προθύμως ὅ,τι ἄν τις λέγῃ) λέγουσι δὲ οὐ ταῦτα οἱ λέγοντες· ἀλλ' οἱ μὲν ἐπαινοῦσιν ὑμᾶς συνάγοντες, οἱ δὲ ἐμμελετῶσι τὴν ἀγνότητα, οἱ δὲ ᾄδουσι καὶ προσᾄδουσι, γλυκεῖάν τι καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν· λόγους δὲ δι' οὓς ἂν ἄνθρωποι ἄμεινον ζῶσιν, οὐ σφόδρα ἀπορεῖν μοι δοκεῖτε, οὐχ ὑμετέρα κάκη, τῶν δὲ λεγομένων φιλοσοφεῖν, οἳ σφίσιν ἀποχρῆν ὑπειλήφασιν ἐν γωνίᾳ μόνῃ πρὸς τὰ μειράκια ψιθυρίζειν, φεύγειν δὲ τὰ μέσα τῆς πόλεως, κατὰ τὸν Καλλικλέους ὀνειδισμόν, καὶ τὰς ἀγοράς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας πλέθειν τοὺς ἄνδρας: τούτους μὲν οὖν ἐατέον ἐνταυθοῖ μένειν οὗ περ μένειν ἐθέλουσι· ἡμῖν δὲ προσακτέον εἰς τὸ φῶς τοὺς λόγους, καὶ συνεθιστέον αὐτοὺς ὄχλον τε ἀνέχεσθαι, καὶ θόρυβον ὑπομένειν καὶ δήμου φωνὴν συγκαθημένου. πάντως εἰ καθ' ἕνα εὖ ποιεῖν ἱκανοί, καὶ πολλοὺς ἅμα δυνήσονται. οὐ γὰρ τοῖς σιτίοις ἴσως ἐοίκασιν, ὅσα ἑνὶ μὲν ἢ δυοῖν αὐτάρκη, πλείους δὲ οὐκέτ' ἂν κορέσαι δαιτυμόνας· ἀλλὰ ταῖς ἀκτῖσι μᾶλλον τοῦ μεγάλου θεοῦ, αἳ τῶν δυοῖν ὀφθαλμοῖν τοὺς μυρίους οὐχ ἧττον καταλάμπουσιν. ἀλλ' ἐπιστρεπτέον τὸν λόγον οὗ προάγοντες αὐτὸν ἀπεπλανήθημεν. καλὸν μὲν δὴ καὶ φιλίππῳ τέχνην γινώσκειν ᾗ διαγνώσεται τοὺς καλοὺς ἵππους τῶν φαυλοτέρων, καλὸν δὲ καὶ φιλοχρύσῳ τὴν λίθον πεπᾶσθαι ᾗ βασανίζουσι τὸν χρυσόν· λύσαιτο δ' ἂν καὶ βοῦς ἀμείνους ὁ βοῶν ἀρετὴν ἐπισκεψάμενος, καὶ πλοῖον ὁ ναυτικός, καὶ κύνας ὁ κυνηγέτης. ἐγὼ δὲ

τὰ μὲν ἄλλα εἰμὶ φαῦλος καὶ ἄπειρος, καὶ οὔτε ἀγαπῶ σφόδρα οὔτε ἐπίσταμαι κρίνειν· ἑνὸς δὲ εἰμι κτήματος ἐραστὴς, φιλίας ἀληθινῆς καὶ ἀδόλου, καὶ τοῦτο ἂν ἑλοίμην ὑπάρξαι μοι μᾶλλον ἢ νισαῖον ἵππον, καὶ κύνα κελτὸν, καὶ τὸ Δαρείου χρυσίον, καὶ τὸν ἐν κρήτῃ ταῦρον, καὶ τὴν Ἀχιλλέως ἀσπίδα, ἣν ἐποίησεν Ὅμηρος ἐν τῷ οὐρανῷ φέρουσαν ὅλον τὸν οὐρανὸν, ἥλιόν τε καὶ σελήνην, ἄντικρυ δὲ ἡλίου θάλασσάν τε καὶ γῆν, καὶ γεωργοῦντας, καὶ γαμοῦντας, καὶ δικαζομένους, καὶ πολεμοῦντας. ἀλλ' οὕτως ἦν ἄρα φιλίας τὸ κτῆμα ἐκεῖνο φαυλότερον, ὥς γε Ἀχιλλεὺς οὐδ' ὁπωσοῦν ῥᾷον ἐγένετο τῆς ἐπὶ Πατρόκλῳ λύπης, ἡνίκα ἐκόμισεν ἡ μήτηρ αὐτῷ τὴν ἀσπίδα· ἀλλὰ καὶ προήκατο ἑτέραν ἀσπίδα τοιαύτην, ἵνα ὁ φίλος μὴ ἀνιῷτο, καὶ πάλιν ἐκτήσατο τοιαύτην ἑτέραν, ἵνα ὁ φίλος μὴ ἀτιμότερος γένοιτο. ἅτε γοῦν ἐρωτικῶς ἔχων τοῦ κτήματος, συνελεξάμην ἐμαυτῷ πολλὰ ἄθλα βασανιστήρια, καὶ μεταλλῶ εἴ τινα δὴ καταμάθοιμι συνεπιθυμοῦντά μοι τῶν αὐτῶν παιδικῶν. σὲ δὲ ὦ τοῦ χοροῦ τοῦδε κορυφαῖε, οὕτως ὁρῶ τὸν αὐτόν μοι πόθον σπουδάζοντα, ὥστε εἰ μὴ φιλία τὸ ποθούμενον, ἐζηλοτύπησα ἂν σε καθάπερ τοὺς ἀντερῶντας. νῦν δὲ γυναικὸς μὲν ὡραίας ἤδη τινὲς ἐπιθυμοῦντες, ἅμα τε τὸν ἔρωτα ἔκριναν, καὶ τιμῆς πέρι μαχόμενοι πρὸς ἀλλήλους οὐ παύονται οἱ φιλότιμοι. τὸν πολυάρατον πλοῦτον τί ἂν καὶ λέγοιμι ὁποίων ἀγωνοθέτης πολέμων ἐστί; μόνοι δὲ οἱ φιλίας ἐρῶντες οὐ μάχονται ἀλλήλοις περὶ τοῦ κτήματος, ἀλλ' εὐθὺς ἐν ἀλλήλοις ἐξευρίσκουσι τὰ παιδικά. τὸ ἔργον δυστυχὲς μὲν δὴ ὅτῳ καὶ ἰδιώτῃ ὑπῆρξε γενέσθαι ἐπηβόλῳ τοῦδε τοῦ κτήματος, δυστυχέστερον δὲ ὅτῳ πολλὰς μὲν πόλεις πολλὴν δὲ χώραν ἐπιτροπεύοντι. ὃν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾶν, πολλῶν δὲ ἅμα ἐπιμελεῖσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ δύο ὦτα, καὶ τὼ δύο

ὀφθαλμοί, καὶ τὸ σῶμα ἓν ὄν, καὶ μία ἄνοδος ἡ ψυχή· εἰ δὲ φιλίαν πλουτοίη, καὶ ὄψεται ἅμα καὶ ἀκούσεται τῶν οὐ πλησίον, καὶ εἴσεται τὰ πόῤῥω, καθάπερ οἱ μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ οἱ θεοί. πῶς οὖν δή τις τό γε τοιοῦτον ἀγαθὸν εὕροιτ' ἄν, καὶ εὑρὼν θηρεύσαι, καὶ θηρεύσας ἐγκρατὴς ἔσοιτο; ἆρα οὐχ ἡμᾶς δεῖ, καθάπερ τοὺς κυνηγέτας, πρῶτον ἁπάντων πεπαιδεῦσθαι τὰ ἴχνη τῆς ἄγρας, καὶ τὰ σύμβολα καὶ τὰ σημεῖα γινώσκειν ἀκριβῶς καὶ ἐπιλέγεσθαι, δι' ὧν καὶ αὐτοὶ μὴ λησόμεθα, καθάπερ, οἶμαι, οἱ τὰ θηρία ἰχνηλατοῦντες, κρημνὸν ἀντὶ χρηστῆς ἄγρας ἐπί τινα ἄτοπον ἐξενεχθέντες; καὶ γὰρ δὴ καὶ ἐν τῇδε τῇ θηρείᾳ πολλὰ καὶ ποικίλα θηρία εὐδαίμονα φιλίαν μιμεῖται, μάλιστα δὲ τὸ πάντων ἐπιβουλότατόν τε καὶ ἀγριώτατον, ὃ καλεῖται ὑπὸ τῶν νῦν ἀνθρώπων ὑπόκρισις. τοσαύτη δὲ αὐτῆς ἡ πρὸς τὴν μίμησιν κακουργία, ὥστε καὶ μέχρις αὐτῆς ἔλθοις ἂν πολλάκις, τοῖς ἴχνεσιν ἀπατώμενος· τῇ δὲ οὐκ ἀρκεῖ βαίνειν ὁμοῦ μόνον, ἀλλὰ καὶ φωνῆς ἂν ἀκούσαις παραπλησίας, καὶ φθέγματος εἰς ἀπάτην γεγοητευμένου. ἔοικε τῶν ἀνθρωπίνων ἀγαθῶν ὄντως ἕκαστον εἶναι κινδύνῳ κεκαλυμμένον, μηδέν τε ἄκρατον τοῦ ἐναντίου· καὶ λέγει τις ὀρθῶς ἄρα τῶν τοῦ γέλωτος ποιητῶν, ὅτι μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον, ὥσπερ δένδρον, ἐκ ῥίζης μιᾶς, ἀεὶ δὲ αὐτῷ παραπέφυκε καὶ κακόν. τοῦτο οὖν ἐστιν ὃ διόλλυσι τοὺς πολλούς, οὐκ ἔχοντας εὐκόλως ἐκλέγειν τὰ ἀμείνω τῶν φαυλοτέρων. δεώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς τῆς ὁμηρικῆς Ἀθηνᾶς, ἐάν πως ἡμῶν ἀποσκεδάσῃ τὴν πολλὴν ἀχλὺν τῶν ὀμμάτων, ὄφρ' εὖ διαγινώσκοιμεν οὐ θεὸν ἐν ταῖς μάχαις καὶ ἄνδρα, ἀλλὰ φιλίαν ἀληθῆ καὶ πεπλασμένην. λεκτέον οὖν ὅσα τέ ἐστι καὶ ὁποῖα ἄττα γνωρίσματα τοῦ μέλλοντος ἐγκριθήσεσθαι. καὶ γὰρ δὴ καὶ τὴν Ἀθηνᾶν καὶ χεῖρα κινεῖ ὁ τῆς Ἀθηνᾶς λόγος φησί.

πρότερον μὲν οὖν ὁ δοκιμαζόμενος ἔστω φιλόστοργός τε καὶ φιλοίκειος ὅτι μάλιστα, καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παραίτιον τῆς ξυγκολλήσεως. εἰ οὖν φαίη μέ τις ληρεῖν ἐξ αὐτῶν τῶν προειρημένων, κελεύοντα πρὸ πείρας γινώσκειν ἃ μετὰ πείρας οἷόν τε μόνης, δέον τοι γινωσκέτω μὴ δεήσεσθαι μαντικῆς. οὐδεὶς γὰρ ἡμῶν, κατὰ τοὺς ποιητάς, « Ἀπὸ δρυός ἐστι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης· ἀλλ' ἑκάστῳ καὶ πατὴρ καὶ μήτηρ ἐστὶ καὶ ἀδελφός, ἴσως καὶ συγγενής. ὅταν οὖν ἐθέλῃς γινώσκειν ὅπως χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γινώσκειν πρότερον ὅπως ἐχρήσατο τῷ πατρί, ἢ ὅπως τῇ μητρί, ἢ ὅπως τ' ἀδελφῷ κέχρηται, ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. εἰ μὲν γὰρ τούτοις πρᾶός τε εἴη καὶ εὔνους, ἐλπίζειν χρὴ καὶ πρὸς ἑαυτὸν τὰ ἀμείνω· εἰ δὲ χαλεπὸς καὶ δυσμενής, σοὶ πόρρωθεν ἂν εἴη φυλακτός. ὁ γὰρ πρὸς τὰ ἔνδον πονηρὸς οὐκ ἂν γένοιτο πρὸς τὰ ἔξω χρηστός. μετὰ δὲ ταῦτα σκεπτέον εἰ μὴ παντελῶς ἄφορος εὐχαριστίας. ὥσπερ γὰρ τῆς γῆς ἡ μὲν ἄκαρπος, ἡ δὲ πιστὴ ταῖς ἀμοιβαῖς ἀποδοῦναι τῷ τὸ σπέρμα καταβαλόντι, οὕτω καὶ τῶν ψυχῶν αἱ μὲν ἄγονοι χαρίτων καὶ λήσμονες, καὶ πρὸς φιλίαν ἀχρεῖοι, ταῖς δὲ ἐπανθεῖ τὸ πρόθυμον εἰς τὴν ἔκτισιν. οὐ γὰρ πάντως τὸ ἔργον ἀπαιτητέον, ἀλλὰ τὴν γνώμην μόνον ἐξεταστέον, καὶ εἰ τοσαῦτα ἐκτίνουσιν ὅσα δύνανται· δύνανται δὲ πάντως ἐπαινεῖν τε καὶ μνημονεύειν. οὐδὲν γὰρ ὅλως φιλίαν οὔτε συνδεῖ μᾶλλον εὐχαριστίας, οὔτε διαλύει ἀχαριστίας. καὶ διὰ τοῦτο ὁ περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας, ὅτι μάλιστα ἐμποιεῖ μῖσος ὅτῳ ἂν ᾖ. οὗ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά γε παρ' αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δέ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος. σκεπτέον δὲ καὶ ὅπως ἔχει τὸ θρέμμα πρὸς ἡδονάς τε καὶ πόνους πολλούς. καὶ εἰ μὴ σφόδρα τοὺς μὲν ἀποφυγγάνει, τῶν δὲ ἁλίσκεται· πολλοὺς μὲν γὰρ αἱρεῖσθαι πόνους, πολλὰς δὲ ὑπερβαίνειν ἡδονὰς ἐν τοῖς ὑπὲρ

φιλίας ἀγῶσιν ἀνάγκη. διὰ τί ποτε δήπου γνώριμος ὁ τοῦ Στροφίου, ἢ ὅτι ταῖς σὺν Ὀρέστῃ ταλαιπωρίαις τῆς οἴκοι βασιλείας περὶ πλείονος ἐποιήσατο; καὶ μὴν που καὶ τόδε δεῖ σκοπεῖν, εἰ βάσκανος εἰ φθόνου κρείσσων. ἢ προσδοκᾷς τινα ἱκανῶς ἂν στέρξαι φίλον, ὃς τοῦτο τὸ νόσημα ἐντὸς ἔχει ὃ πέφυκε τοῖς μὲν ἔγγιστα πολεμεῖν, τῶν δὲ μηδὲν προσηκόντων ἀπέχεσθαι; οὐ μὴν οὐδὲ τόδε παραλείψαις, ὡς ἔγῳμαι, ὅταν κρίνειν μέλλῃς φύσιν φιλικήν τε καὶ μή, μή σε λάθῃ μετέχουσα ἀνελευθερίας. ἐναντιωτάτη γάρ που σμικρολογία ψυχῇ μελλούσῃ φιλίας ἀληθινῆς ὀρέξασθαι. ὁρῶμεν γάρ που τοὺς καλουμένους φίλους, ὅτι τέως μὲν τὰς δεξιάς τε ἀλλήλοις συμβάλλουσι, καὶ συμπεριπατοῦσι, καὶ συνδιάγουσιν· ἐπειδὰν δὲ ὀλίγα κέρματα μεταξὺ τύχῃ τις βάλῃ, ὥσπερ τὰ κυνάρια μαχόμενοι δάκνουσί τε ἀλλήλους καὶ σπαράττουσι. τί οὖν ὁ πρᾶος καὶ εὔχαρις, μηδὲ φιλοχρήματος, μηδὲ βάσκανος· ἆρα εἰ φιλόδοξος εἴη καὶ πάνυ τοῦ προστατεύειν ἐξηρτημένος, ἐᾶθ᾿ ὅπου ἂν εὐκοινώνητος γένοιτο; καὶ τίς οὐκ οἶδεν ὅτι τὴν ἐκ φιλίας ἰσότητα οὐ σφόδρα δέχεται φιλοτιμία; ὑπερόπτην δὴ καὶ ἀλαζόνα τὴν ἰσηγορίαν ζητοῦντι μήτε εἰσκρινώμεν, οὐ μὴν οὐδὲ ἀκρόχολον ἢ ὀργίλον. πῶς γὰρ ἐπιτήδειος εἰς συνήθειαν ὁ μεμηνώς; ἐγὼ δὲ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι. τὸ δὲ τοίνυν μετὰ ταῦτα σκεπτέον εἰ μὴ σφόδρα ἐφ᾿ ἕν τι νένευκε τῶν οὐ πάντῃ χρηστῶν, κυβείαν, ἢ θηλείας, ἢ κιθαριστικὴν, ἢ αὐλούς. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἕν τι τοιοῦτον αἱ ἐπιθυμίαι πᾶσαι ῥέπουσι, τούτῳ οὐκ ἂν εἰς τἀμείνω γίγνοιντο φιλίαι ἰσχυραί, ὥσπερ ῥεῦμα ἐπὶ τὸ πρανέστερον ἀποτετραμμέναι. ἆρ᾿ οὖν οὐκ ἐλπίζεις ἐξευρεῖν ἄνδρα οὕτω κεκαθαρμένον, ἢ καὶ χρυσοῦ σπανιώτερον ἀρετή, καὶ ἀγαπητὸν ὅτῳ καὶ εἷς που τοιόσδε εἰς τὴν κρίσιν ἀφίκοιτο. οὐκ ἄρα πολύφιλος οὐδὲ μονόφι-

λος ἔσται ὁ τῆς ἐκλογῆς ἐπιστήμων. καὶ γὰρ αὖ ἀναγκαῖον αὐτῷ μὴ ἐπ' ὀλίγον κάμνειν, μηδὲ τοῖς πλείοσιν ἔχειν ὅ,τι χρήσαιτο. σκέψαι γάρ· πολλοῖς ἀνθρώποις οὔτε χαίρειν τοῖς αὐτοῖς οὔτε ἀνιᾶσθαι δυνατὸν, οὔτε μὴν τύχῃ ὁμοίᾳ κεχρῆσθαι, ἀλλὰ τῷ μὲν ἄλλο τι, τῷ δὲ ἄλλο τι ἡδύ τε ἔφυ καὶ ἀλγεινόν· καὶ τῷ μὲν εὖ ποτε, τῷ δὲ οὐχ οὕτως ὁ δαίμων χρῆται. λεγέτω οὖν ἡμῖν ἐκεῖνος ὁ τὸ πλῆθος ἐν φιλίᾳ τιμῶν, ὅταν τῶν πολλῶν αὐτοῦ φίλων τοῖς αὐτοῖς οἱ μὲν χαίρωσιν, οἱ δὲ ἄχθωνται, ποτέροις συνδιακείσεται· καὶ ὅταν ὁ μὲν συναλγεῖν αὐτὸν, ὁ δὲ συνεορτάζειν ἐθέλῃ, εἰς πότερον αὐτοῖν βαδιεῖται. ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ, τιμῶντι τοῖς ἑτέροις, τοῖς ἀτιμουμένοις ἀπέχθεσθαι; τὸ δὲ τοῦ Ὁμήρου πολὺ ἂν ἐφαρμοδιώτερον ἐπὶ τῶν φίλων λέγειν ἢ τοῖς λαφύροις, ὅτι τοῖς φρονίμοις ὄντως ὀλίγον τὸ φίλον. ἀλλ' ἐπειδὴ χαλεπὰ τὰ καλὰ, καὶ οὔτε αὐτοὶ κακίας ἄτερ, οὔτε οὓς κρίνομεν, οὐ πάντως ἀποκριτέον ἂν εἴη τὸν ῥυπαροῦ καὶ σμικροῦ κῆρα φέροντα ἐν τῇ ψυχῇ· ἀλλὰ ζητητέον μόνον ἐπὶ τῶν τοιούτων εἰ μή τινι παραπλησίῳ μοχθηρίας εἴδει περιπεπλώκαμεν. ἀρετὴ μὲν γὰρ πρὸς αὑτὴν ἅπασα σύμφωνος, κακία δὲ οὔτε πρὸς ἀρετὴν ὁμοφυὴς, οὔτε δυσάρεστος ἑαυτῇ. ὅθεν οὔτε ὀξύθυμος ὀξυθύμῳ γένοιτ' ἂν φίλος, οὔτε νωθὴς νωθεῖ, οὔτε αὐθάδης αὐθάδει· διαμιχθέντα δὲ ταῦτα φέροι ἂν ἄλληλα μετρίως καὶ συγκιρνῷτο. ὑβριστῇ μὲν γὰρ ἀνάλγητος προσαρμόσει, μεγαλαύχῳ δὲ μικροπρεπὴς, ὑπερόπτῃ δὲ καταπεπληγμένος, ὁ δὲ νωθέστερος τῷ κεκινημένῳ πλέον· ἐνέγκαι δ' ἂν καὶ φειδωλὸν ὁ περὶ τὰς δαπάνας ἐκκεχυμένος, καὶ πρὸς φιλόδοξον εὔμικτος ὁ σφόδρα τοῦ λαθεῖν ἐραστής. τοιαίδε μέντοι καὶ τῶν πρόσθεν, ὁπόσαι μνήμης εὐκλεοῦς ἔτυχον, ἐφ' ὧν μόνιμοι αἱ συζεύξεις. Χαβρίου γὰρ καὶ Ἰφικράτους φιλίαν ᾄδουσιν· ἦν δὲ ὁ μὲν αὐτοῖν σύντομός τε καὶ δρα-

σπέλιος, δυσκίνητος δὲ ὁ Χαβρίας. ὥσπερ ὁ μὲν χαλινοῦ δεόμενος, ὁ δὲ κέντρου, εἰς δέον ἀλλήλοις συνηρμοσάτην. Ὅμηρος δὲ ἄρα οὐ πόλεμον ποιῆσαι μόνον, ἀλλὰ καὶ φιλίαν ἠπίστατο. Ἀχιλλεῖ γὰρ Πάτροκλον ἐποίησε φίλον, τῷ μεγαλαύχῳ τὸν μείλιχον· Σθενελόν τε αὖ τῷ Διομήδῃ, τὸν μὲν ἀνεξίκακον, τὸν δέ, οὐ στέργοντα ὕβριν. ποῖ δῆτα ἄμφω ταῦτα μαρτυρεῖ τοῖν ἀνδροῖν; ὅπου πεποίηκε τὸν βασιλέα τῶν ἀχαιῶν διέποντα τὸ στρατόπεδον μετὰ τὴν τοῦ Ζελείτου τοξείαν. ὀνειδισθέντες γὰρ ὑπ' αὐτοῦ κατ' ὀργήν, ὁ μὲν οὐκ ἀνέχεται, ὁ δὲ ἡσυχάζει. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα, ὡς ἔοικεν, ἐκκριτέον τε καὶ ἀποκριτέον τῷ τῆς ἐκλέξεως ἐπιστήμονι. θηρεύσονται δὲ ἡμῖν οὗτοι καὶ ἁλώσονται τίνα τρόπον; οὐ γὰρ ἀφετέον ἐξευρεθείλας τοὺς ἄνδρας, ἀλλὰ κύκλῳ περιβρεκτέον αὐτοὺς μετὰ πλείονος προθυμίας ἢ τοὺς θάμνους οἱ κυνηγέται. ἥμερόν τε γὰρ καὶ οὐκ ἄγριον τὸ θηρίον· ἥ τε σπουδὴ ἡμῖν οὐ κρεαδίων ἕνεκεν, ἀλλὰ βίου ξύμπαντος κοινωνίας. ποίας δῆτα αὐτοῖς ἄρκυς περιστησόμεθα; ἢ ποῖον προθήσομεν δέλεαρ, ὃ μήτε πημανεῖ γευσαμένους, μήτε ὕπουλον καὶ δόλερον ἕξει τὴν ἡδονήν, ἀλλὰ προσέξεται ἀβλαβῶς καὶ γεννητύσει ξένην ἀφέλειαν; θηρία μὲν γὰρ καὶ ἰχθῦς ἄλλα ἄττα δελεάσματα προδεικνύντες αἱροῦσιν οἵ τε ἁσπαλιευταὶ καὶ οἱ κυνηγέται· μόνον δὲ τοῦτο τὸ ζῶον ὁ φίλος αὐτῷ δελεάζεται τῷ θηρεύοντι. διὸ χρὴ καλόν τε εἶναι καὶ ἀγαθόν, ὥστε αὐτοῦ γευσάμενον τὴν ἄγραν ἐνέχεσθαί τε καὶ μηκέτι ἐθέλειν ἀπολύεσθαι. τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐκλογὴν αὐτόματον περιποιήσει. ὁ μὲν γὰρ προσιὼν καὶ γαννύμενος τοιῷδε ὄντι, οὗτός ἐστιν ὃν πάλαι ἐπεζητοῦμεν· ὁ δὲ ἤτοι μὴ θαυμάζων τὴν ἀρετήν, ἢ ἀποφεύγων, ὁ μὲν ὡς ἀναίσθητος, φευκτέος· ὁ δέ, ὡς πονηρός, μισητέος. τὰ δὲ καθ' ἕκαστα ἄγκιστρα τῆς θήρας ὁποῖα ἄττα ἔσται, λέγωμεν ἐφεξῆς. προσιτέοι δὴ πρό τι

αὐτῷ πόρρωθεν, ὥσπερ δὴ τοῖς πώλοις ἠρέμα, χρόνῳ δὴ ποιοῦντας, ἀπὸ τῶν σμικρῶν καὶ φαυλοτάτων ὡς ἂν δόξειεν ἀρχομένους, οἷον τοῦ προσορᾶν εὐμενῶς, καὶ διαλέγεσθαι ἐπιδεξίως, καὶ συμπαρακαθέζεσθαι, καὶ συμπαραβαδίζειν, καὶ δῆλον γίνεσθαι ὅτι ἥδοιτο ὁρωμένῳ. μεταδιωκτέον δὲ καὶ ἐν ἀγορᾷ· τόποι γὰρ τὰ πολλὰ ἐκείνῳ συνεσόμεθα, καὶ ἐν συμποσίοις, καὶ ἐν βαλανείοις, καὶ κατὰ θεωρίαν, ἢ κατὰ στρατείαν, ἢ ἐν ὁδῶν πορείαις, ἢ ἐν ταῖς ἄλλαις κοινωνίαις. ταῦτα γὰρ οὐ μεγάλα μὲν φαῖμεν ἄν, ἀρχαὶ δὲ ὅμως ἀεὶ τὰ ἐλάχιστα τῶν μεγίστων. εἰ μὴ ἐδεδοίκειν ἐγὼ τοὺς καταγελασομένους ἐπὶ τῇ λεπτολογίᾳ, εἶπον ἂν ὑμῖν καὶ φαυλότερα θήρατρα τῶν εἰρημένων· νῦν δὲ ἐὰν λέγω ὅτι καὶ τὸ δεξιὰν ἐμβαλεῖν, καὶ τὸ πιέσαι τοῦ θηρευομένου τὴν χεῖρα, καὶ τὸ θλίψαι τῶν δακτύλων, ἐνίοτέ τι κέντρον μελλούσης φιλίας. ἀλλὰ καταγελάσονται γάρ, εὖ οἶδα, καὶ σμικρολογεῖν φήσουσιν· ἐγὼ δὲ ὁρῶν καὶ τοὺς πατέρας, ὅτι ἡνίκα ἂν σφόδρα ἀσπάζωνται τὰ παιδάρια, τύπτειν αὐτὰ καὶ δάκνειν ἐξ ἀπλήστου πάθους πειρῶνται. ἔοικε γὰρ δὴ πᾶν τὸ τοιοῦτον σημεῖον εἶναι διανοίας ὠθιζομένης ἑνωθῆναι τῇ τοῦ στεργομένου ψυχῇ, διὰ δὲ ἀμηχανίαν τοῦ ξυγκολληθῆναι καθ' ἑαυτὸν ἐπὶ τὸ σῶμα καταντώσης· ὥστε διά του γε ἐθέλειν ἐμφῦναι. δραστικώτατόν γε μὴν πρὸς θήραν φίλου φάρμακον ἡγητέον τὸν ἔπαινον, εἰ καὶ σφόδρα ὕποπτον αὐτὸν οἱ κόλακες πεποιήκασιν· ὡς καὶ τοὔλαιον οἱ μυροποιοί. ἐπιβουλῇ γὰρ τῶν πέλας οὗτοι μὲν τοὔλαιον, οἱ δὲ πέλας τὸν ἔπαινον διαφθείρουσιν. ὅθεν αὐτῷ ξὺν μέτρῳ, καθάπερ τῷ οἴνῳ, χρηστέον, οὔτε ἐκεῖσε ὑπερβαίνοντα τοὺς σωφροσύνης ὅρους, οὔτε ἐνταῦθα, τῆς ἀληθείας. ἥκιστα δὲ παρόντα ἐπαινετέον. μόνον γὰρ δὴ τοῦτο φάρμακον ἐρρωμενέστερόν τε ἅπτεταί τε καὶ ἐνδύεται, ὅταν μὴ αὐτῷ προσφέρηται τῷ φαρμασσομένῳ τηνικάδε, καὶ αὐτὸ ὥσ-

περ ὕποπτόν τι καὶ ἐπίβουλον ἀπωθοῦνται οἱ ἄνθρωποι. οὐδὲν οὖν, οἶμαι, τῶν τοξευόντων διαφέρουσιν οἱ ἐπαινοῦντες. ἐντιώτερα γὰρ καὶ τούτων τὰ βέλη πόρρωθεν ἀφιέντων, ἢ σφόδρα ἐγγύθεν· προσεκτέον δὲ οὐκ αὐτῷ μόνῳ τῷ θηρευομένῳ τὰς μηχανάς, ἀλλὰ κἀκείνοις οἳ προσαλόντες ἐπιβατὸν ἡμῖν ἔργον ποιήσουσι. παῖδάς τε οὖν αὐτῷ καὶ ἀδελφοὺς καὶ γονέας εὖ ποιοῦντάς γε καὶ ἀσπαζομένους. εἰ γὰρ δή, κατὰ τὴν παροιμίαν, καὶ τὸν ἀνοσοῦντα καὶ κύων σαίνει, πόσῳ δὴ μᾶλλον εὖ πάσχοντες ἄνθρωποι ἥμεροί τε καὶ τιθασοὶ γίνονται πρὸς τὸν εὖ ἐργαζόμενον; ἐπεὶ καὶ μέγας ὁ ἀγών, τό, τε θηρευόμενον οὐ λαγωός, οὐδὲ σῦς, οὐδὲ ἔλαφος, ἀλλὰ τὸ πάντων ζώων ἀκολώτατόν τε καὶ ἡμερώτατον. μιμεῖται οὖν πρὸς τὴν ἄγραν αὐτοὺς τοὺς κούφους θηρευτάς. καθάπερ οὖν ἐκεῖνοι φάττιά τε καὶ περυγένια τιθασεύοντες, διὰ τούτων τὰ ὁμόφυλα γοητεύουσι, καὶ ἑκόντα ὑπάγονται εἰς τὸν ἰξὸν ἢ τοὺς βρόχους· ὧδε ἄρα δεῖ καὶ ἡμῖν τῶν ἤδη προσηλωκότων φίλων τοὺς εὖ πάνυ τεθηρευμένους. οὐ γὰρ δὴ τῶν περιστερῶν μὲν αἱ τιθάδες πολλάκις ζινὰς καὶ ξένας ἐπάγονται. εἶεν. τί δὲ μετὰ τοῦτο λεκτέον ἡμῖν φυλακῆς πέρι καὶ ξυντηρήσεως τῶν θηρευθέντων. τί γὰρ ἂν εἴη κέρδος τῆς ἄγρας, εἰ κρατήσαντες αὐτῆς μὴ κατάσχοιμεν; φυλακτέα δὴ εὐθὺς ἐξ ἀρχῆς προθεμένοις σκοπὸν ᾧ ἂν χρώμενοι μάλιστα ἐπιτυγχάνοιμεν. ἔστι δὲ τοῦτο τὸ κοινῇ συμφέρον, καθάπερ ἐν οἰκίᾳ καὶ ἐν πόλει καὶ ἐν ταῖς ἄλλαις κοινωνίαις. οὐδὲν γὰρ δὴ τούτων σώζοιτ' ἂν μὴ μετεχόντων ἑκάστου παντὸς τῶν πραττομένων, εἰς ἓν τοῦτο κεφάλαιον ἀναφέροντες. καὶ μὲν δὴ ἅπαντα ἐπιμελείας μὲν ἀπολαύοντα ἀμείνονά τε καὶ ὠφελιμώτερα γίνεται αὐτά τε αὑτοῖς καὶ τοῖς πεπαμένοις. ἀμείνων μὲν ἵππος, ἀμείνων δὲ βοῦς, ἀμείνων δὲ κύων, εἰ τὸν μὲν ἱπποκόμος, τὸν δὲ γεωργὸς θεραπεύει, τὸν δὲ κυνηγέτης· ἀκο-

μισία δὲ οὐχ ἵππον μόνον καὶ κύνα, ἀλλὰ καὶ ἀσπίδα καὶ λύραν καὶ δρέπανον διολλύει. οὕτω δὴ καὶ φιλίαν ἐπιμέλεια μὲν εὖ διατίθησι, ῥαθυμία δὲ ἀκροσφαλῆ καὶ σαθρὰν ἀπεργάζεται. μὴ γὰρ δὴ οἴου, εἰ μὲν οἰκίαν οἰκοδομήσαις, δεῖσθαι αὐτὴν καὶ συνεχοῦς θεραπείας, εἰ μὴ μέλλει τάχιστα διαρρυήσεσθαι· εἰ δὲ φίλον σεαυτῷ κατασκευάσαις, ἔπειτ' οὐ χρήζειν συντηρούσης ἐπιμελείας. ἀλλ' ἄρα τὸ μὲν δωμάτιον οὐκ ἐάσεις ἀτημελές, εἴ τι αὐτοῦ κινηθείη ἢ χειμῶνος ἐπιβρίσαντος, ἢ πνεύματος ἐπιγινομένου, ἢ ὕδατος λάβρου καταρραγέντος· τὸν φίλον δὲ ἀφήσεις εἰκῆ, λύπης ἢ νόσου καταλαβούσης, ἢ τινος ἄλλης ξυμφορᾶς οὐκ εὐδαίμονος; καίτοι γε ὁ μὲν τοῖχος διαρρυεὶς οὐδὲν ἄν σε πλέον λυπήσειε τοῦ διερρυηκέναι, οὐδὲ τῶν ἄλλων ὀργάνων ἢ κτημάτων οὐδὲν αὐτοῦ τοῦ διολέσθαι χαλεπώτερον ἐργάσαιτο ἄν τι τὸν ῥαθυμήσαντα· φιλία δὲ παροφθεῖσα οὐ διαφθείρεται μόνον, ἀλλὰ καὶ γίγνεται ἔχθρα, ἐξ ἧς μάλιστα τὰ κακὰ τοῖς ἀνθρώποις συμβαίνει, ὅταν συμβαίνῃ. πολεμήσεις δὲ τῷ μετὰ ταῦτα ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ, καὶ οἷόν σοι μικρῷ πρόσθεν ἐξεκαθήραμεν. ὥστε σοι πανταχόθεν ἀπορριπτέον τὸν ὄκνον, καὶ κοινωνητέον πόνων τε καὶ ἀγρυπνιῶν, κινδύνων τε αὖ καὶ δαπάνης καὶ ἀτιμίας, οὐ κληθῆναι ἀναμένοντι εἰς τὴν κοινωνίαν, ἀλλ' αὐτοματῷ θέοντι, καὶ προμαντευομένῳ τοῦ καιροῦ πολλάκις, καὶ πειρωμένῳ πρὸς ἑκάστην χρείαν τοῦ φίλου τὸ πρόσωπον οἰκεῖον μεταλαμβάνειν, ἐν ἀρρωστίᾳ μὲν, ἰατροῦ, ἐν δίκαις δὲ, συνηγόρου, συμβούλου δὲ ἁπανταχοῦ καὶ συνεργοῦ ἐπὶ τῇ γνώμῃ. πολλοῦ δὲ ὄντος τοῦ κατὰ τὸν βίον ἀνίσου τε καὶ ἀνωμάλου, καὶ τῆς ἀκριβοῦς ὁμοιότητος οὐδὲ πάμπαν εὑρισκομένης, (οὔπω λέγω κατὰ τὰ πρόσωπα· οὐδὲ γὰρ δέομαι ταύτης νῦν τῆς ποικιλίας· ἀλλὰ κατὰ τὴν ἔξωθεν τύχην πλούτου τε καὶ πενίας, ἐπιφανείας τε αὖ

καὶ ἀδοξίας. τούτου γὰρ ἀνάγκη μὲν οὐδὲ τοὺς πάνυ φίλους ἴσην ἑκάστου μοῖραν μεταλαγχάνειν.) φιλία δὲ τὰ πολλὰ τὸ πλέον ὑπεροψίαν κατὰ τοῦ ἐλάσσονος ἐντίκτει. ὅθεν εἴ σε ἄγει προσωτέρω τούτων ἡ τύχη, συμπαρενεκτέον σοι καὶ τὸν φίλον· ἀπολειφθέντα γὰρ οὐ ῥᾳδίως ὄψει τοῖς αὐτοῖς ὀφθαλμοῖς. εἰ δὲ σὺ μὲν ἐφέλκοιο, τὸν δὲ αὖ ἀνάγκη τις ἀντισπῴη, θαμὰ ἐπιστρέφεσθαι πρὸς τὸ καὶ βλέμμα ὅμοιον τηρεῖν. εἰ γάρ σε λάθῃ παραδῦσα ἀλαζονεία, πάντα ἐκεῖνα ὀξέως τὰ δεσμὰ διαλύσει, μετέωρον ἄρασα. συμβαίνει γάρ, ὥσπερ πλάστιγγος ἐπὶ θάτερα κουφισθείσης, τὴν ἰσορροπίαν τοῦ ζυγοῦ μὴ διαμένειν. ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μέν, ἀγαθὸν δέ, ἐπαινεῖ, καὶ φίλον ἡγεῖται· ἐγὼ δὲ καὶ τοῦτο μὲν τὸ ἔπος ὡς πάνυ κομψὸν ἐκδέχομαι, παραινέσαιμι δ' ἂν τοῖς φιλίαν τηρεῖν βουλομένοις, τὴν συνήθειαν εἰς δύναμιν ἐπιπλέκειν, καὶ τὸ συνδιατρίβειν ἀλλήλοις πολλοῦ ἄξιον εἰς τὸν σύνδεσμον ἡγεῖσθαι. εἰ γὰρ τὸ πᾶν εἰς ἅπαντα ἡ μελέτη, καὶ φιλίας μητέρα νομιστέον τὴν συνουσίαν. φιλονεικίαν γε μὴν καὶ τὸ δύσερι καὶ πᾶσαν ἐκποδὼν μεταστατέον, οἷον σπέρματα ἔχθρας ἀλαζουμένοις. οὐ γὰρ ἐν ἀνταγωνισταῖς, ἀλλ' ἐν συναγωνισταῖς ἡ φιλία. τοιγάρτοι οὐδὲ ταῖς αὐταῖς ἐπιστήμαις ἢ τέχναις ἐνευδοκιμεῖν εἰκὸς τοὺς ἀσφαλῶς τὴν κοινωνίαν φυλάξοντας. σφαλερὰ γὰρ ἡ ὁμοιότης, ἔρωτα ἐντεθεῖσα τῶν αὐτῶν ἐπαίνων ἠρέμα, εἶτα παρεξάγειν εἰς ἅμιλλαν. εἰ δ' οὖν σε δαίμων ξυζεύξειεν ἢ ῥήτορα ὄντα ῥήτορι, ἢ ἰατρὸν ἰατρῷ, ἢ γραμματιστὴν γραμματιστῇ, μή τι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον, μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας, ἀεὶ μὲν παραχωροῦντα τῆς πλείονος δόξης, εἰ ἄρα τι καὶ σοφώτερον ἐπίσταιο, ἀεὶ δὲ ἐν χώρᾳ δευτέρᾳ τῆς τιμῆς ἱστάμενον, εἰ ἄρα σοι καὶ μᾶλλον ἢ πρό τι προσήκει.

καὶ εἰ ταῦτα οὕτως πράξεις, οὐκέτι ἐκεῖνα τὰ ἔπη θαυμασόμεθα, ἀλλ' ἐροῦμεν πρὸς τὸν ποιητὴν τῶν στίχων ὅτι, ὦ θαυμάσιε καὶ αὐτοδίδακτε ποιητά, οὐχ ἡ τῶν τεχνῶν ὁμοιότης τὸν κότον ποιεῖ καὶ τὴν ἔριν, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ τέχνη μετρίως αὐτοὺς παρακινήσει· εἰ δὲ μή, καὶ τέχνη καὶ ἀτεχνία χαλεπὴ κοινωνεῖν τοῖς τοιούτοις ξυμβαίνει. ἐπεὶ δὲ τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς φύσεως κεῖται τῆς ἀνθρωπίνης, (οὐ γὰρ πείθομαι ἐγὼ τοῖς ἐκ τῆς ποικίλης φυλῆς, οἵ ποτε ἐν ἀνθρώποις οἵους εἶναι ἐκείνοι πλάττουσι σοφούς τε καὶ σπουδαίους, οὐκέτι ἀνθρώποις· ἀλλὰ τάχα δὴ τὸ ἐπίγραμμα ἀληθέστερον ὃ Ἀθήνησιν ἐπιγέγραπται ἐν τῷ τάφῳ τῷ δημοσίῳ· καὶ γὰρ τοῖς θεοῖς μόνοις τὸ πάντα κατορθοῦν ἀπονέμει) λεκτέον δὴ καὶ περὶ τῶν ἐν φιλίᾳ γιγνομένων ἁμαρτημάτων, ὅπως τε αὐτὰ χρὴ κωλύειν, καὶ ὅπως ἰᾶσθαι εἰ ξυμβαίνοι. ὁ γὰρ δὴ φίλος τοῦ κόλακος οὐδὲν μὲν οὐδαμῇ ἐγγύς, ταύτῃ δὲ μάλιστα πορρωτάτω ὅτι ὁ μὲν ἅπαντα ἐπαινεῖ, ὁ δὲ οὐκ ἂν σφαλλομένῳ σοι συγχωρήσειε. τῷ μὲν γὰρ πρόκειται κερδαίνειν ἢ γαστρίζεσθαι ἐκ τοῦ ἔργου, καὶ οὐ σέ τι θαυμάζει, ἀλλὰ τὰ χρήματά σου ἢ τὴν δυναστείαν. οὐκοῦν οὐδὲ αὐτῷ μέλει ὅπως ἂν ἔχῃς, μέλει μὲν οὖν ὅπως ἂν μὴ ἄριστα ἔχῃς, ἵνα αὐτὸς ὡς ῥᾷστα ἐργάζοιτο. ὁ δὲ φίλος σοὶ μόνῳ προσέχει τὸν νοῦν, καὶ σοῦ μόνου ἥλω, καὶ βούλοιτο ἂν γε μηδὲν κακὸν ἔχειν. ἀφαιρετέον οὖν τὰ νοσήματα ἠρέμα, καὶ ὡς μὴ σφόδρα λυποῦντας, μηδὲ ἐνδιδόντας. ἀλλ' ὥσπερ οἱ ἰατροὶ τὸ μὲν σίδηρον πολλάκις ἐῶσι, προστιθέμενοι δὲ φάρμακα ἄλλα οὐ ξὺν ἀλγηδόνι τὸ πάθος ἰῶνται· οὕτω καὶ σὺ τὸν φίλον θεραπευτέον. ἔχεις δὲ καὶ σὺ φαρμάκοις δίχα καύσεων καὶ τομῶν εἰς τὴν ἰατρείαν κεχρῆσθαι. τὰ δὲ φάρμακα ταῦτα λόγοι εἰσὶ μεστοὶ εὐνοίας καὶ παρρησίας, οὐχ οἱ γλυκεῖς καὶ

πρὸς χάριν, (οὗτοι μὲν γὰρ τρέφουσι καὶ ἄρδουσι τὸ νόσημα) ἀλλ' οἱ στρυφνοὶ καὶ ἀληθινοὶ καὶ μεστοὶ παῤῥησίας οὐκ ὀνειδίζουσι, (πάμπολυ γὰρ διαφέρει νουθεσία μὲν λοιδορίας, ἐπίπληξις δὲ ὀνείδους, οὐ τῇ διανοίᾳ μόνῃ τοῦ λέγοντος, ἀλλὰ καὶ αὐτῷ τῷ λόγῳ εὐνοίας καὶ παῤῥησίας) νουθετοῦντες, οὐ λοιδορούμενοι, καὶ ἐπανορθοῦντες, οὐκ ὀνειδίζοντες. εὐλαβητέον δὴ ἐν τῷ τοιῷδε μὴ ἀκράτους προσάγειν τοὺς δάκνοντας λόγους, ἀλλὰ προσπλέκοντα αὐτοῖς ἤπιόν τι ὅσον καὶ προσηνοῦς, οἷον μέλιτος πικρῷ μὲν ὠφελίμῳ δὲ πόματι. ὁ τοιοῦτος οὐκ ἐάσει δι' ἀηδίαν τό, τε φάρμακον ἀποῤῥίπτειν, καὶ τὸν ἰατρὸν ἀποκλείειν. ἰατροῦ δὲ ἐγὼ κακίας λέγω τοιαῦτα τὰ καὶ οὕτως εὑρίσκειν τὰ ἐπίκουρα τὴν νόσον, ὥστε ῥιζοθίζειν τὰ ἀῤῥωστήματα. οὐκοῦν οὐδὲ ἐκεῖνον ἐπαινῶ τὸν ἅπαντα ἐπιδιδόντα τῷ κάμνοντι σιτία τε καὶ ποτὰ τὰ αὔξοντα καὶ πιμύλλοντα τὴν νόσον, οἰνοχόον ἢ τραπεζοποιὸν αὐτῷ θεραπευτοῦ γιγνόμενον. οὐκ ἄρα οὐδὲ ἐν φιλίᾳ τὸ σφόδρα. ἑκατέρα γὰρ τοῖν ἀλλοσέ ποι ἐκφέρει ἢ ὅποι δεῖ καταλῦσαι. ἡ μὲν γὰρ ἐπὶ κολακείαν ἄγει, τῆς δὲ ἐπ' ἔχθραν ἡ τελευτή. διαβολὴ δὲ χαλεπὸν μὲν ἁπανταχοῦ καὶ πολεμοποιόν, οὗ ἂν παρεισρυῇ, καὶ πρὸς παῖδα πατεί, καὶ πρὸς ἀδελφὸν ἀδελφῷ, καὶ τὸ δρᾶμα ἐκεῖνο καὶ ὁ Ἱππόλυτος, καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους, ᾧ τε ἐπιβουλεύει, καὶ ὃν ἐξαπατᾷ, τὸν μέν, ὅτι πάσχει παρὰ δίκην, τὸν δέ, ὅτι βιάζεσθαι ἀναγκάζει. ἀλλὰ φιλίας ἐχθρότατόν τε φύσει καὶ ἐπιβουλότατον παρὰ τὰ ἄλλα. καὶ ὅπου ἂν αἴσθηται αὐτὴν ἀπραγμονοῦσαν, ἠρέμα εἰσοικισαμένη κατὰ σμικρὸν ὑπορύττει καὶ ἐλέγχει τὸν ἄφρακτόν τε καὶ ἀσθενῆ. ἀποτειχιστέον οὖν αὐτὴν καὶ ἀποκρουστέον τῇ ἀπιστίᾳ, ἰσχυρὸν ἐν ταῖς ἀκοαῖς οἰκοδομησαμένους τὸ φυλακτήριον· ὥστε πόῤῥωθεν αὐτῆς ἀφεστάναι τὰς ἐπιβουλάς. ὃ μάλιστα μὲν ἀποκλείειν προσιοῦσαν καὶ ἀπω-

θείας· εἰ δ' οὖν σε λάθῃ παρεισδῦσα, μήτοι κατακρύπτειν εἰσδεξάμενον, μηδὲ ἐντὸς ἔχειν ἐργαζόμενον, ἀλλ' εἰς φανερὸν προάγειν καὶ διελέγχειν. ὄψει περιλιγγιῶσαν ἀδέως, καὶ τεγυζομένην, καὶ βατταρίζουσαν, καὶ οὐκ ἔχουσαν ὅ,τι χρήσεται. καὶ εἰ τοῦτο ὑπομείνειεν ἅπαξ, οὐ μήποτε ἐνοχλήσει λοιπόν, ἀλλ' οὐδ' ἂν ἀποπειράσειεν, οὐδ' ἂν προσέλθοι πλησίον. ὅσοι δὲ αὐτῇ τῶν ἀνοήτων ἥσθησάν τε προσιούσῃ, καὶ τὸ θυρεῖον ἀμφῶς διεπέτασαν, οὗτοι δὲ ἥκιστα ἀπολαύουσι τῆς φιλανθρωπίας. ἐξίστανται γὰρ ὑπ' αὐτῆς, καὶ οὐδὲν διαφέρουσι τῶν μεμηνότων. ἄθρει δὲ ὡς ὅμοια πάντα τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη. δεδίασι γὰρ καὶ ὑφορῶνται οἷς ἥκιστα ἐχρῆν, ὥσπερ οἱ τὰ ὕδατα εὐλαβούμενοι, ἢ ὥσπερ ὁ μελαγχολῶν Ὀρέστης ἐν ταῖς τραγῳδίαις πρὸς τὴν ἀδελφὴν βοᾷ θεραπεύουσαν τὸ νόσημα. τὸ δὲ ἁπάντων ἐλεεινότατον, ὁπλίζονται ἐπὶ τοὺς φιλτάτους, καὶ ἥδιστα ἂν κατακάνοιεν. τοῦτο αὖ πάλιν ἑτέρου λυττῶντος ἔργον καὶ ἑτέρας τραγῳδίας. Αἰσώπου δὲ τοῦ μυθοποιοῦ πολλαχῇ τε ἄλλῃ μνημονεύειν ἐπωφελῶς, καὶ ὅσα εἰς διαβολὴν οὗ ἔχοντα ἀπολέλοιπεν. ἀεὶ μὲν γὰρ αὐτὴν τῇ ἀλώπεκι προστίθησι, δολερῷ καὶ δοάνδρῳ θηρίῳ, ποιεῖ δὲ ὑπ' αὐτῆς ἁλισκόμενα τῶν ζώων τὰ ἀλκιμώτατα. καὶ ὅντινα ἔχω πρόχειρον μῦθον εἴποιμ' ἂν ὑμῖν, εἴ μου πρᾴως ἀνέξεσθε παραβαλλομένου τοῖς σοφισταῖς. ταύρω δύο μιᾶς ἡγείσθην ἀγέλης, ξυνόμω τε ὄντε καὶ ὅτι μάλιστα φίλω. ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει· καὶ οὔτε αὐτοῖς ἐθάρσει, οὔτε δι' αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος, ἔρχεται ἐπὶ τὴν κερδὼ, καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν, ὥστε προσενεγκοῦσα τὴν μηχανὴν διέστησέ τε αὐτὼ καὶ ἐξέμηνε κατ' ἀλλήλοιν, καὶ παραδέδωκε τῷ λέοντι δίχα ἑκάτερον εὐπρεπῆ καὶ εὔκολον

θήραν-

θήραν. τοῦτο μὲν ἡ τοῦ Αἰσώπου κερδώ. φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον δὲ ἀνθρώπια σμικρά τε καὶ ἀνελεύθερα, τὰς ἀλώπεκας ὄπισθεν ἐφελκόμενα. οἱ δὲ αὐτῶν οὐκ ἀλώπεκας, ἀλλὰ δράκοντας ἰοῦ χαλεποῦ καὶ ἀτόπου μεστοὺς ὑφέρποντας, καὶ κρυπτομένους εὐνοίας καὶ φιλανθρωπίας παραπετάσμασιν. οὓς ἀπελαύνειν χρεὼν καὶ ἀποσοβεῖν πορρωτάτω. κηλούμεθα γὰρ πολλάκις καὶ γαννύμεθα σαίνουσι, τὰ ἄκρα τῆς γλώττης μόνον ὁρῶντες, τὰ δὲ ἐντὸς οὐκ ἐθέλοντες διϊδεῖν. ᾧ δέ μοι δοκοῦσιν ὅμοιοι εἶναι, ἐθέλω ἀπεικάσαι, εἰ βούλεσθε. τεθέαμαι, οἶμαι, πολλαχοῦ σκύλλης εἰκόνα οὐχ οἵαν Ὅμηρος διηγεῖται. Ὅμηρος μὲν γὰρ οὐδέν τι λέγει πλέον περὶ τῆς μορφῆς ἢ ὅτι τὸ θηρίον ἦν ἐν σπηλαίῳ διαιτώμενον, ἓξ κεφαλὰς ἔχον καὶ δυοκαίδεκα χεῖρας· οἱ πλάσται δέ τι μᾶλλον κομψεύονται ἐν τῷ ἔργῳ. ποιοῦσι γὰρ αὐτῆς τὰ μὲν ἀπ᾽ ἄχρι κεφαλῆς ἄχρι λαγόνων, παρθένον, ἀπὸ δὲ τῆς ἰξύος, εὐθὺς εἰς τοὺς κύνας ἐκφερομένην, ἀγρίους ὄντας καὶ σμερδαλέους· καὶ τρίστοιχοι μὲν αὐτῆς οἱ ὀδόντες, ἀνεστήκασι δὲ αἱ κεφαλαί, ζητοῦσι δὲ ἰσάριθμον θήραν. μαντεύομαι οὖν ἐγὼ καὶ Ὅμηρον βούλεσθαι λέγειν ὅτι ὁ μὲν σοφὸς καὶ πολύμητις οἶδέ τε ὅλην ἀκριβῶς, καὶ οὐκ ἐγοήτευσεν αὐτὸν τὰ ἄνωθεν τοῦ θηρίου, ἀλλὰ παρετάξατο καὶ ὡπλίσατο, καὶ μάχεσθαι ἕτοιμος ἦν· οἱ δὲ ἀφύλακτοι τῶν ἀνθρώπων ἁλίσκονται. ὅτῳ δὲ μὴ δοκεῖ οὕτως ὁ Ὅμηρος λέγειν, ἀλλ᾽ ὁρᾷ μόνον τὸ φαινόμενον τοῦ μύθου, οὗτος ἐμοὶ δοκεῖ καὶ τὴν σκύλλαν ἰδὼν, τὴν μὲν ἄνθρωπον θεάσασθαι, τοὺς κύνας δὲ οὐκ ἂν δυνηθῆναι. πῶς οὖν δὴ φυλαξόμεθα καὶ κρινοῦμεν φιλίας τε ἐτήτυμον πρόσωπον, καὶ κακουργίας εὔνοιαν ὑποδυομένης; βούλεσθε, ἵνα μὴ σφόδρα ὦ φορτικὸς, σύμβολα αὖ πάλιν καὶ σημεῖα διδοὺς, μῦθόν τινα ὑφαπλώσας τῷ λόγῳ, καταλίπω διορᾶν ὑμῖν αὐτοῖς

τὰ ἐμφαινόμενα; ὥσπερ γὰρ Πρόδικος λέγει, καθημένῳ τῷ Ἡρακλεῖ ἐφ᾽ ἡσυχίας, ὁπηνίκα ἐξήλαθε τῶν μειρακίων, καὶ διασκοπουμένῳ ποῖός τις τῶν ἀνθρώπων, καὶ ποίᾳ χρησάμενος ἀτραπῷ τὸν βίον ὡς ἄριστα διέλθοι, ἐφάνησαν δύο γυναῖκες, ὧν τὴν μὲν, ἀρετὴν ἐκεῖνος ὀνομάζει, τὴν δὲ, κακίαν. ἐπεὶ γοῦν εἶπε τὴν ἑκατέρα τὰ αὑτῆς ἀγαθὰ, καὶ ἔδοξε τῷ Ἡρακλεῖ τὴν ἀρετὴν ποιήσασθαι ἡγεμόνα, λέγει αὐτὸν ἐκείνη παραλαβοῦσα, ἵν᾽ ἔτι καὶ μᾶλλον ἴδῃς, φησὶν, ὅτι ὀρθῶς δοκιμάζεις. ἄγει οὖν ἐπί τινα τόπον ὑψηλόν τε καὶ ἀνεστηκότα ἐξ ὄρεος τε καὶ ἀναπεπταμένου πεδίου, οὗ δύο μὲν ἦσαν αἱ κορυφαὶ, πόρρωθεν δὲ ἐδόκει τοῖς θεωμένοις εἰς μίαν τελευτὴν ἀπολήγειν. ἀλλ᾽ ἥ γε ἀρετὴ προσάγουσα τὸν Ἡρακλέα πλησίον, ἔδειξέ τε τὰ ἄκρα πλεῖστον ἀπέχοντα ἀπ᾽ ἀλλήλων, καὶ αὕτη μὲν, φησὶν, ἐπὶ δεξιᾷ κορυφὴ καλεῖται φιλίας ἱερὸς χῶρος, ἐμῆς ξυνοπαδοῦ τε καὶ ἀδελφῆς, αὕτη δὲ ἡ ἐπὶ θατέρα, ὑποκρίσεως, κακίας ξυννόμου δαίμονος. πρόσιθι οὖν ἀγχοῦ, καὶ ἐπισκόπει τὴν φύσιν ἑκατέρου τοῦ χωρίου, μή ποτε ἓν αὐτὸ πόρρωθεν ὁρῶν ὑπολάβοις. καὶ ἅμα ἐκέλευσε τὴν φρόνησιν συμπαροῦσαν ἐπιδεικνύναι τὰ ἕκαστα, καὶ ἐξηγεῖσθαι. ἐδείκνυεν οὖν ἐκείνη τοὺς μὲν προπόδας τοῖν λόφοιν σφόδρα τε ὁμοίους καὶ προσεοικότας ἀλλήλοιν, τοῖς αὐτοῖς μὲν ἄνθεσι βρύοντας, τοῖς αὐτοῖς δὲ φυτοῖς, εἰ μὴ ὅσον τὰ μὲν τὸν ἅπαντα ἔρρωτο χρόνον, τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἔρρει δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχροῦ τε καὶ διαυγοῦς ὕδατος· ἀλλὰ τὰ μὲν δι᾽ ὅλου τοῦ ῥείθρου γλυκεῖά τε ἦν καὶ προσηνῆ, τὰ δὲ, κάτωθεν μὲν γευομένῳ γλυκύτερά τε ἐδόκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς, πικρά τε καὶ φαρμακώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιεῖν ἐκ τῆς χρόας ἀπατηθεῖσι. τὰς κορυφὰς δὲ αὐτὰς οὐκέτι ὁμοίας, ἀλλὰ τὴν μὲν

παν διαφερούσας. ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ προτὴν ἄλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης, καὶ φυτῶν ἀκάρπων μεστήν· λεπταὶ δὲ αὐτὰ περιέπνεον αὖραι, οἷαι τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταρρηγνύναι καὶ διασπᾶν. πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον· καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ' ἡδονῆς τῷ αὐτῷ προσώπῳ. καθῆστο δὲ ἐπ' ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὔ, ὡραία δέ, ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων. ἀμφίεστο δὲ λευκόν τινα κόσμον ἱκέον διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥστε πολλαχῇ καὶ τοῦ σώματος διαφαίνειν. καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. τὸ γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς καὶ οὐ μετατρεπόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι σεβασθείς τε καὶ θαυμάσας, οὐ χρυσίον ἢ ἄργυρον προσέτεινεν, ἀλλ' αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς, καὶ προσηύξατο ἵλεων τυγχάνειν· καὶ ἐπήρετο τὴν φρόνησιν, τίνες δὲ αἱ πλησίον αὗται γυναῖκες; ὡς καλαί τε καὶ πρέπουσαι ὀπαδοὶ τῆς θεοῦ. αὕτη μέν, εἶπεν, ἡ τὸ πολὺ φῶς κατέχουσα, καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημένη, Διὸς θυγάτηρ ἀλήθεια· ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὐτῇ καὶ ἐπαναπαυομένη, καλεῖται μὲν εὔνοια, χρῆται δὲ ἡ θεὸς αὐτῇ πρὸς ἅπαντα διακόνῳ. τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὁ τὰ χρυσᾶ φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν ὑπουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ οὐδὲ βέλη. οὔτε γὰρ πέτεσθαι βούλεται, καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵοις ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτοις ξυγκολλᾷ καὶ συνδεῖ· καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ

ἄῤῥηκτα παντελῶς, καὶ μόνοις γαίνωνται οἱ δεδεμένοι. ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί. καὶ δῆτα πρῶτα μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥσπερ ἔφην, ἐξεικασμένα, ἔπειτα αὐτὸ τὸ πέρας, ὄρθιον καὶ ἀπότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον, κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγες περιεῖχον, καὶ θῖνες ὀστῶν ἀνθρωπίνων σεσωρευμένοι, μετὰ δὲ ἅπαντα, δακετῶν θανασίμων καὶ ἰοβόλων. ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυτὴν τῇ φιλίᾳ· ἀλλ' ὅμως αὕτη μὲν δὴ ἠθινοῦ κάλλους τὸ πρόσωπον ὑπεγέγραπτο, αὕτη δὲ γαληνοῦ μειδιάματος, ὕπουλον ἐσεσήρει· ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾶν αὐτὴ προσεποιεῖτο τῶν εἰσιόντων· οὐδενὸς δὲ αὐτομάτου προσερχομένου, πόῤῥωθεν ἐκβλέπουσα ὑπέκυπτε καὶ ἀπήντα, καὶ λιπαροῦσα ἀνῆγε. παρῆν δὲ αὐτῇ καὶ γυναικῶν ὅμιλος, οὐδὲ ταῖς προτέραις ὅμοιαι, ἀπάτη, καὶ ἐπιβουλή, καὶ δόλος ἀγεννής· αὕτη δὲ ἀληθείας ἐπιορκία παρῆν, ἵνα μὴ καὶ θρασεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπράττουσα ἐκείνῃ καὶ συνεργοῦσα. ἰδὼν δὲ Ἡρακλῆς γυναῖκά τινα κατὰ τὰς εἰσόδους οἷον χωλῶσαν, ἤρετο τὴν φρόνησιν ἥτις εἴη. κολακεία, ἔφη, πρόδρομος ὑποκρίσεως, δαίμων αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, προσπλέκεται καὶ θαυμαστὰ δρᾷ, γοητεύουσα, πείθουσα θαρσεῖν τε καὶ ἀνιέναι. τίς δὲ ἡ σκυθρωπὴ ἐκείνη ἡ σιωποῦσα, ἡ τοὺς ὀλίγους κατάγουσα κοπτομένους τε καὶ οἰμώζοντας; μετάνοια, ἔφη, βραδεῖα ἡ οὐ σφόδρα εὔκαιρος δαίμων. ὅπως δὲ τινὰς οὐκ ἐᾷ πάμπαν ὑπὸ τῶν ἑρπετῶν ἀπομυζηθῆναι, ἀλλ' ἀνίστησιν ἔτι πνέοντας, καὶ οἴκαδε ἀποσώζει.

ΤΟΥ ΑΥΤΟΥ ΣΟΦΙΣΤΗΣ,

λόγος τέταρτος.



ΡΑ οἴεσθέ με ὦ ἄνδρες ἐπιδεῶς ἔχοντα ἐπικρότου τε καὶ ἐκβομβήσεων, ὧν δαψιλῶς μοι εἰώθατε χορηγεῖν ἑκάστοτε, ὅταν λέγω, ἐγῖραί τε αὖ καὶ τήμερον ἀγῖραι ἀναβῆναι ἐπὶ τοῦ βήματος, καὶ ἑτοίμως δέχεσθαι καὶ ἀγαπᾶν τοὺς θορύβους οὓς ἂν διδῶτε ἐπὶ τοῖς ῥήμασιν; ἐμοὶ δὲ ἡδὺ μὲν δοκεῖ εἶναι καὶ πολλοῦ ἄξιον ἄκουσμα ἔπαινος ἄδολος καὶ ἀληθινὸς, ὁποῖος ὁ παρ' ὑμῶν ἀπαντᾷ μοι ἀεὶ, αὐτοκέλευστος καὶ ἄνευ παραγγελίας· οὐ μὴν τούτου γε ἕνεκα φανείην ἂν πράγματα παρέχων ὑμῖν καὶ διοχλήσας. ἀλλ' ἐγὼ μὲν ἴσημι ὅταν εἰσίω ὅπως ἄν τι νουθετήσαιμι, ἢ διδάξαιμι, ἢ προσαξοίμην ὑμῖν εἰς εὔνοιαν πλείω τὸν ἀρχηγέτην, ἢ καὶ εὐθύνας ὑπόσχοιμι οὐδὲν δεομένοις. ὑμεῖς δὲ ὑπὸ δεξιότητος καὶ φιλανθρωπίας θέατρα μοι ποιεῖτε τὰς ἐκκλησίας. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ τήμερον ἐγὼ μὲν ξυνήγαγον ὑμᾶς, ὡς δικαστάς μοι καθεδουμένους ὑπὲρ ὧν αἰτίαν ἔχω παρανομεῖν· ὑμεῖς δὲ τὸ εἰωθὸς ἀποδῴητε, καὶ βοήσεσθε ἀναπηδῶντες, ἐπιλαθόμενοι ὅτι ψήφου κύριοι ἥκετε, καὶ οὐ πανήγυρις τοῦτό ἐστιν, ἀλλὰ δικαστήριον ἐμμελέστερον καὶ σοφώτερον τοῦ εἰς ἕνα καὶ χιλίους, οἷς ἐπιτέτραπται ἐκ τοῦ ψήφου ἐξενεγκεῖν ὅ,τι χρὴ παθεῖν τὸν ἀγόντα ἢ ἀποτίσαι. καὶ πρότερον δὲ ἐκεῖνο μὴ θορυβεῖσθε, ὅτι οὔτε φεύγων ἐγὼ οὔτε διώκων, οὔτε προσκεκλημένος ὑπό του, οὔτε ἕτερόν τινα πρὸς ὑμᾶς εἰσάγων, ὑμᾶς τε δικαστὰς ποιοῦμαι, καὶ αὐτός φημι ἀγωνιεῖσθαι. τὸ γὰρ δὴ λίαν ἄτοπον τοῦτο καὶ θαυμαστὸν οὐ παρ' ἐμὲ ὄψεσθε συμβαῖνον, ἀλλὰ παρὰ τοὺς ἐμοὺς κατηγόρους, οἳ οὕτως ἄρα ἀγνοί εἰσιν, ὥστε οἵτινες μέν εἰσιν οὐδὲ ἐγὼ οἶδα. τοξεύουσι δὲ ἀφανῶς, ὥσπερ οἱ πλαταιεῖς ποτε πελοποννησίους.

ἀποδιδράσκοντες ἐν νυκτὶ τῆς πολιορκίας, ἔβαλλον ἀπὸ τοῦ σκό-
τους διώκοντας μετὰ λαμπάδων. καὶ δὴ τὰ μὲν βέλη περικέχυ-
ταί μοι ἔνθεν καὶ ἔνθεν ἀθρόα καὶ πολλὰ καὶ ποικίλα, καὶ οὐδὲ ἐκ
μιᾶς ἰοδόκης· τοὺς δὲ βάλλοντας οὔτε γινώσκω, οὔτ' ἂν βουλοί-
μην· ἀλλὰ ἀγαπῶ ὅτι πολέμιοι ὄντες οὕτω φαῦλοί εἰσι, καὶ οὐ-
δεὶς αὐτῶν ἥψατο τῆς ψυχῆς, ἀλλ' οὐδὲ ἐπέγραψέ τι τοῦ σώματος,
οὐδὲ ἤλεγξέ τι τῶν φραγμάτων· ἀλλ' ὅσῳ γὰρ ἂν πλείω καὶ ἐντο-
νώτερά μοι ἐπιτοξάζωνται, τοσῷδε ἐκφαίνουσι μᾶλλον τῶν ὅ-
πλων τὸ στεγανόν τι καὶ ἄρρηκτον, ἃ Ἥφαιστος μὲν οὐκ ἐχαλ-
κεύσατό μοι ἐν τῷ Ὀλύμπῳ, θεοὶ δὲ οἱ φιλοσοφίας δοτῆρες
καὶ προστάται, οἳ ὅντινα ἂν περιφράξωνται, ἀκριβῶς ἄτρω-
τον ποιοῦσί τι μᾶλλον ἢ τὸν Καινέα. καὶ οὐδὲν ἂν ὑπιῶσιν οἱ μι-
ξάνθρωποι ἢ μιξόθηρες ἀλιζόμενοι καὶ παίοντες δρυσὶ καὶ
ἐλάταις, ἀλλὰ ἀκέραιος διαμένει καὶ ἀκλινής· καὶ προσή-
κει αὐτῷ μεῖζον φρονεῖν φέροντι ῥαδίως ἀγνωμοσύνας ἀν-
θρώπων, ἢ ἐφρόνει ἐκεῖνος ὁ Διαμμίας, φέρων ἐπὶ τῶν ὤ-
μων τὸν λίθον τὸν ἑπτατάλαντον. ἐπεὶ οὖν οἱ μὲν βάλλοντες εἰς
τοὐμφανὲς παρελθεῖν οὐκ ἐθέλουσι, καὶ στῆναι ἐν μέσῳ παρ'
ὑμῖν οὑτωσὶ καὶ ἐν πανοπλίᾳ, ἀλλ' ἐν γωνίαις που καταδε-
δύκασιν ἢ κρημνοῖς, τοὺς δὲ ὀϊστοὺς ὁρῶ πίπτοντας οὐκ οἶδα
ὅθεν, καὶ ἐν ποσὶ κυλινδουμένους· φέρε διαριθμήσωμαί τι αὐ-
τοὺς ἀνελόμενος ἐκ τῆς γῆς, καὶ πειραθῶ διακλάσαι, ἢν δυνώ-
μαι, καὶ ἐπιδεῖξαι τῶν ὄγκων τὴν μαλακότητα, καὶ διαθρῆ-
σαι εἰ δή τινες εἶεν φαρμάκῳ ἀληλιμμένοι. ἴσως δ' ἂν καὶ
πυκνὰ ἐπαφώμενοι καὶ μεταστρέφοντες, εὕροιμεν αἰσχροῦ τῶν
γλυφίδων καὶ τοὔνομα τοῦ βάλλοντος ἐγκεχαραγμένον· ὅ-
θεν γὰρ καὶ Φιλίππῳ ἐφωράθη τῷ Μακεδόνι πολιορκοῦντι
Μεθώνην ὁ βαλὼν ἐκ τοῦ τείχους τοξότης. Ἀστὴρ ὄνομα ἦν
τῷ ἀνθρώπῳ, καὶ ἐγκέκαυτο ἐν τῷ βέλει. εἶεν. ἀλλ' ἀνάγκη
ἐξῆν ἐκ τῆς εἰκόνος, καὶ ἅπτεσθαι ἀληθινῶς τοῦ ἀγῶνος. δο-

καὶ οὖν μοι χρήσασθαι προοιμίῳ, ὥσπερ οἱ ῥήτορες ποιοῦσι καθιστάμενοι τὸν λόγον. καὶ δὴ ἐχέτω ὧδέ μοι τὸ προοίμιον, ὅτι μηδὲν καινὸν οὗτοι νῦν οἱ ἐμοὶ κατήγοροι διαπράττονται, ἀλλ' ὅπερ πάλαι εἴωθε, καὶ ἐν τῇ φύσει ἐστὶ καὶ τῇ ἀνθρωπίνῃ, ἐξ οὗ φιλοσοφία παρὰ θεῶν ἐν γῇ ἐφάνη, τοῦτο αὖθις καὶ νῦν ὥσπερ νόσημα περιτρεπόμενον ἀνακυκλεῖται. ποιεῖται μὲν γάρ πού καὶ τἄλλα ἀγαθὰ τοὺς κεκτημένους ἐπιφθόνους τε καὶ ἐπιβούλους καὶ βαρεῖς τοῖς τῶν αὐτῶν οὐ μετέχουσι, κἂν μηδ' ὁτιοῦν ἀδικῶνται· καὶ τῷ πένητι οὐχ ἡδύ ἐστιν τὸν πλούτῳ σεμνυνόμενον, καὶ τῷ ἀφίππῳ, τὸν ἱππικόν, καὶ τῷ ἀσθενεῖ, τὸν ῥωμαλέον· σοφία δὲ ὅσῳ μεῖζον καὶ τελεώτερον ἀγαθόν, τοσούτῳ πλείους ἐγείρει τε καὶ ἀνίστησι πρὸς τὸν ἔχοντα ἢ δοκοῦντα. καὶ τοῦτο ἄνωθεν ἀρξάμενον ἐκ Πυθαγόρου, ὥσπερ κλῆρός τις ἀναγκαῖος διαδόσιμος συμπαρέμεινε τοῖς ἀπ' ἐκείνου ἐγγόνοις. αὐτός τε γὰρ ὁ Μνησάρχου τοσόνδε ἄρα ἀπέλαυσε τῆς πολυυμνήτου σοφίας ὥστε μετανάστης ἀεὶ διεβίω, διὰ τοὺς βασκαίνοντας καὶ κολούοντας, ἐκ σάμου μὲν εἰς κρότωνα, διὰ Πολυκράτην, ἐκ κρότωνος δὲ εἰς λοκρούς, διὰ Κύλωνα· λοκρῶν δὲ οὐχ εἷς ἤδη ἀλλὰ πάντες λοκροὶ οὐχ ὑπέμειναν Πυθαγόρου τὴν ἀρετήν, ἀλλὰ μετεστήσαντο εἰς τάραντα καὶ παρέπεμψαν· ταραντῖνοι δὲ αὖθις, ὥσπερ φορτίον, εἰς μεταπόντιον· οὗ δὴ καὶ ἐτελεύτησεν ἐν τῷ τεμένει τῶν Μουσῶν, τετταράκοντα, ὥς φασιν, ἡμέρας φεισάμενος σίτου. τὰ δ' ἀμφὶ Σωκράτους τί ἂν θρυλλοίη τις; ἐμπέπλησται γὰρ τὰ ὦτα τοῦ Μελίτου καὶ Ἀνύτου καὶ Λύκωνος. Πλάτωνος δὲ οὐ μέχρι νῦν καταβοῶσιν, ὡς τρὶς πλεύσαντος εἰς σικελίαν ἐπὶ χρήμασι καὶ τραπέζῃ; Κηφισοδώρους δὲ καὶ Εὐβουλίδας καὶ Τιμαίους, Δικαιάρχους καὶ στρατὸν ὅλον τῶν ἐπιθεμένων Ἀριστοτέλει τῷ σταγειρίτῃ πότ' ἂν καταλέξαιμι ἀπνευστί, ὧν καὶ λόγοι ἀξιοῦνται

ται εἰς τόνδε τὸν χρόνον, διατηροῦντες τὴν ἀπέχθειαν καὶ φιλονεικίαν. τί ἂν οὖν ἐγὼ ὦ ἄνδρες ἀγανακτοίην εἰ πάντα τὸν βίον σπουδάσας ὅπως ἂν τοῖς ἀνδράσιν ἐκείνοις εἰς ἐμὴν δύναμιν συνεποίμην, ἔπειτα ἀπέλαυσα τῶν ὁμοίων τοῖς ἡγεμόσι, καὶ προσέπταισα τοῖς αὐτοῖς ῥεύμασι, τὰ αὐτὰ ἴχνη μεταδιώκων, ἠρέθισά τε ἐπ' ἐμαυτὸν καὶ ἐπεσπασάμην οἷον ἑσμόν τινα κηφήνων κεκεντρωμένων, οὔτι μάλα ἑκὼν οὐδὲ προαιρούμενος, ἀλλ' ὅτι φύσει τὸ πρᾶγμα τοιόνδε ἐστίν; ὃ λιπαρῶ τε καὶ ἀγαπῶ, καὶ ἧττον ἂν μεθείμην ἢ τὴν ψυχήν. σὺ γὰρ εἰ ἐμπορείας μεταποιούμην, ἵλεων ἀεὶ τὴν θάλατταν λογίζεσθαι ἐχρῆν καὶ τὰ πνεύματα ἐξ οὐρίας, καὶ τὸ χρυσίον ἀεὶ προσαυξόμενον ἐκ τοῦ φορτίου, ἀλλὰ καὶ χειμῶνας καὶ προσβόλους καὶ ἐκβολήν, ἔστι δὲ ὅτε καὶ πειρατικὴν ὁμιλίαν, χειμῶνα ἕτερον τοῦτον τοῦ κλύδωνος χαλεπώτερον· ἀλλ' αὐτὸ δὴ τοῦτο χρεὼν λαμβάνειν σημεῖον τοῦ κατὰ πόδας ἐκείνων βαδίζειν, καὶ μὴ πόρρω ἀποπλανᾶσθαι, ὅτι καὶ αἱ διαβολαὶ καὶ αἱ λοιδορίαι ἃς οἱ νῦν με διαβάλλουσιν, οὐκ ἄλλαι εἰσὶν ἢ ἃς τοὺς κλεινοὺς ἐκείνους καὶ θεσπεσίους οἱ πάλαι Τελχῖνες. ὁ γὰρ σοφιστὴς καὶ ἀλαζὼν καὶ ὁ καινοτόμος πρότερον μὲν Σωκράτους ὀνείδη ἦν, ἔπειτα Πλάτωνος ἐφεξῆς, εἶτα ὕστερον Ἀριστοτέλους καὶ Θεοφράστου. καὶ δὴ ἐντεῦθεν μοι τῆς ἀπολογίας ἀρκτέον, εἰ τοὔνομα τοῦτο ὁ σοφιστὴς ἔτυμον μὲν ἐστὶ καὶ προσέχεταί μοι ἐκ τῶν πραγμάτων, ἢ ἀποσείεται αὐτὸ ἡ ἀλήθεια, κἂν πάνυ ἐπιρρίπτηται. ὅτι μὲν δὴ πάλαι σεμνόν τε ἦν καὶ ἐπ' ἀξιώσει, καὶ ὅτι Σόλωνα σοφιστὴν ὠνόμαζον οἱ τότε ἄνθρωποι καὶ Πυθαγόραν, ἀπειροκάλου ἂν εἴη κωμῳδοποιῶν ὑμᾶς ὑπομιμνήσκειν καὶ συγγραφέων. καὶ οὗτοι δή που οὐ ταύτῃ ἄν με τῇ ὁρμῇ οὕτω καλοῖεν· οὐ γὰρ τιμᾶν με ἐθέλουσιν, ἀλλὰ λοιδορεῖσθαι· ἀλλ' ἐπειδὴ τοῦ ὀνόματος ὥσπερ νομίσματος μετέπεσεν ἡ δύναμις κατὰ τοὺς ὕστερον χρόνους, ἐκ

οὗ Πρωταγόρας τε αὐτοῦ ἠμφισβήτει, καὶ Πρόδικος ὁ Κεῖος, καὶ Γοργίας ὁ Λεοντῖνος, οἳ ὥσπερ ἄλλο τι τῶν ὠνίων χρημάτων ἐκήρυττον τὴν σοφίαν, καὶ ἐπράττοντο πολὺ ἀργύριον τοὺς προσφοιτῶντας, ἐκεῖσε ἂν δή που ἕλκοιεν τοὔνομα καὶ οἱ νῦν ἐμὲ ἐπισκώπτοντες. σκοπεῖτε οὖν ὡς δικαίαν ποιήσομαι τὴν ἐξέτασιν. εἰσί που ὑμῖν κείμενοι νόμοι (μᾶλλον δὲ ἴσως καὶ πᾶσιν ἀνθρώποις) καθ᾽ οὓς ἅπαντα ἐπιεικῶς ὑμῖν ἀναγκαῖον καὶ πράττειν καὶ ὀνομάζειν, καὶ εἰ περί του ἀμφισβητοίητε, ἰόντες ἐπὶ τοὺς νόμους διακρίνεσθε οὐ χαλεπῶς ἐκ τῶν γραμμάτων. καὶ τοῖς φιλοσόφοις τοίνυν οἱ νόμοι εἰσὶ γεγραμμένοι, ἐξηγούμενοι καὶ διδάσκοντες ὑπὲρ ὅτου ἂν αὐτοὶ πυνθανώμεθα. καὶ ἄλλῳ δὴ φιλοσόφῳ ἄλλοι νόμοι εἰσὶν ὁπόσους συνέγραψεν ὁ ἀρχηγέτης τῶν λόγων, οὓς διώκει τε καὶ προὐστήσατο. τῷ μὲν γὰρ τὰ Πλάτωνος αἱρουμένῳ, ὁπόσα Πλάτων. τῷ δὲ τὴν ποικίλην ἀγαπῶντι, ὁπόσους Ζήνων ὁ Κιτιεύς. ὅτῳ δὲ μέλει ὁ κῆπος, ὁπόσους Ἐπίκουρος ὁ Νεοκλέους, καθάπερ Σόλωνι μὲν τῷ Ἀθηναίῳ, Λυκούργῳ δὲ τῷ Σπαρτιάτῃ. ξυμβαίνει οὖν τὸν αὐτὸν ἄνδρα πολλάκις τοῖς μὲν τῆς πόλεως νόμοις ἀθῷον εἶναι, τοῖς δὲ Πλάτωνος ἁλίσκεσθαι ἢ τοῖς Ζήνωνος. τοιοῦτον τοίνυν ἐστὶ καὶ ὃ νῦν ἐμοὶ ἐπικαλοῦσι. τὸν γὰρ σοφιστὴν καὶ ὁποῖόν τι παρανόμημα ὁ σοφιστής, οἱ μὲν ἡμέτεροι νόμοι οὔτε λέγουσιν οὔτε διώκουσιν, ἀλλὰ καὶ ἔντιμον ὑπολαμβάνουσιν ἔστιν ᾗ καὶ οὐ πάντῃ ἀχρεῖον τῇ πολιτείᾳ. ἡ δὲ ἀκαδημία καὶ τὸ λύκειον ἀποκλείει, καὶ οὔ φασι τοῖς ἀνακτόροις προσήκειν τὸν ἄνδρα ἐκεῖνον ὃς τοῦτο τὸ ὄνομα ἀγαπᾷ καὶ ἐξεργάζεται. δῆλον οὖν ὅτι καὶ ὑμῖν τήμερον, ἐπειδὴ ξυνήκετε ἐμὴν χάριν, οὐ τοὺς Σόλωνος ἢ Δράκοντος ἢ Κλεισθένους ἢ Λυκούργου, ἀλλὰ τοὺς ἐκεῖθεν νόμους ἐξεταστέον, καὶ τὰ σύμβολα ἐκεῖνα βασανιστέον καὶ τὰ γνωρίσματα

ἃ διδόασι τοῦ ἐγκλήματος οὗτοι οἱ νόμοι· καὶ εἰ μὲν δὴ τούτοις φανείην ἔνοχος καὶ ὑπεύθυνος, κατέχειν καὶ ἐνδιδόναι τοῖς κατηγόροις χρήσασθαι τῇ ἄγρᾳ ὅ,τι ἂν βούλωνται· εἰ δὲ ἄλλῃ πῃ ἀποφέροι τὰ ἴχνη ἐκεῖνα καὶ τὰ σημεῖα, ἀθῷόν με ἐᾶν τοῦ ὀνόματος. ἔστι τοίνυν Πλάτωνι τῷ θεσπεσίῳ κύρβις ἀνάπλεως τούτων τῶν νόμων, καὶ τεκμήρια ἐξευρημένα πολλὰ ἐφεξῆς καὶ οὐ διεσπαρμένα, ὧν χρὴ ἐχομένους ἰχνηλατεῖν τοὺς μαστεύοντας τὸν σοφιστήν. ταῦτα οὖν, ὡς ἔοικεν, εἰς μέσον ἡμῖν θετέον, καὶ ἐξεταστέον πότερον ἅπαντά μοι οἰκεῖα, καὶ τὰ πλείω, ἢ τὰ ἐλάττω. ἀνάσχεσθε οὖν μου πρὸς Χαρίτων ἀτρέμας ἐξαριθμουμένου ὁποσάκις σοφὸς ὁ νομοθέτης οἷον κυνηγέτης κύκλῳ θήρειον περιδραμὼν, αἱρεῖ τὸν ἄνδρα καὶ σαγηνεύει. δείκνυσι δὴ πρῶτον μὲν θηρευτὴν ἔμμισθον νέων πλουσίων· δεύτερον δὲ, ἔμπορον περὶ τὰ μαθήματα τῆς ψυχῆς· τρίτον δὲ αὖ, κάπηλον τῶν αὐτῶν τούτων· τέταρτον δὲ, αὐτουργόν τι καὶ αὐτοπώλην· πέμπτον δὲ, ἀγωνιστὴν περὶ λόγους, τὴν ἐριστικὴν ἔχοντα τέχνην· καὶ ὃν δὴ τελευταῖον κολοφῶνα ἐπέθηκε τῷ λόγῳ καὶ συνεδήσατο, δοξαστικόν τινα περὶ τὸ μὴ ὂν, καὶ μιμητὴν διὰ φαντασμάτων, καὶ τεχνίτην τῶν εἰδώλων τῆς ἀληθείας, καὶ θαυματοποιὸν ἐν λόγοις. τοῦτον γὰρ δὴ ἅπαντα τὸν ὁρμαθὸν τῶν λόγων τε καὶ τῶν ὀνομάτων τῷ σοφιστῇ περιίησι τῷ γενναίῳ, ὅπως αὐτοῦ τὸ πολυειδὲς καὶ πολύπλοκον ἐνδείξαιτο καὶ παραστήσειε κατὰ δύναμιν. εἶεν. χωρὶς δὴ ἕκαστον τούτων παραχειριζόμενοι ἀπὸ τοῦ πρώτου, σκοπῶμεν ὅστις ἄν μοι αὐτῶν προσαρμόσαι, καὶ ὅ,τι ἂν εὕροιτε ὥσπερ ἴχνος τηλαυγὲς τῆς ἐμῆς πορείας. ὅτι μὲν δὴ οὐδένα πω ἐγὼ πλούσιον νέον ἐθήρευσά τε καὶ μισθὸν εἰσεπραξάμην τῆς ὁμιλίας, ἴστε που ἅπαντες. ἴστε γὰρ ἅπαντες τοὺς ὁμιλητὰς τοὺς ἐμοὺς, ὅτι μήτε νέοι οὕτως εἰσὶν ὥστε εὐκόλως ἐξαπατᾶσθαι, μήτε οὕτως ἄγαν πολύσαρκοι

ὥστε καὶ μισθὸν προσφέρειν τοῦ φενακίζεσθαι. καὶ οὔτι που θρύπτομαι ἐπὶ τῷ πράγματι, οὐδ' αὖ σεμνὸν ἡγοῦμαι καὶ ὑπέρογκον τὸ μὴ μισθωτός ποτε γενέσθαι. εἰ γὰρ δὴ ἐδεόμην ἐγὼ χρημάτων καὶ τῆς πρὸς τὰ ἀναγκαῖα ἐπικουρείας, μισθὸν μὲν οὐκ ἂν ὡμολόγησα οὐδὲ ἐγραψάμην· οὐκ ἀπώκνησα δ' ἄν, εὖ ἴστε, Κρίτωνα ποιήσασθαι τῶν ἐμῶν ἐπιτηδείων, καὶ ταμιεῖον οἷον Κρίτων ἦν τῷ τοῦ Σωφρονίσκου, γεμίζων ὄστρακον κενὸν τῆς ἐφημέρου δαπάνης. ἀλλ' οὔτε δέομαι, ἀλλ' ἐξαρκεῖ μοι τὰ ὄντα, οὔτε μισθὸς ἱκανός μοι ἐστὶν ὃν φέρουσιν ἐμοὶ ξυνόντες, κοσμιότητα καὶ αἰδῶ καὶ σωφροσύνην, καὶ τὸ μέτρια φρονεῖν, καὶ τὸ μὴ σκαιοὺς εἶναι, μηδὲ πλησμίους, μηδὲ ἠλιθίους, μηδὲ ἀχάριτας, μηδὲ ἄνω καὶ κάτω θρυλλεῖν καὶ σεμνύνεσθαι ἐνὶ βιβλίῳ, ὃ διαρράπτοντες ἐν ζόφῳ πλείω κατέτριψαν χρόνον ἢ οἱ Ἕλληνες πορθοῦντες τὴν Τροίαν. καὶ οὐδεὶς αὐτῶν ἕπεταί μοι ὥσπερ ἀκόλουθος, οὐδὲ συμπεριάγεται τοῦ τρίβωνος ἐξημμένος, οἷα τοῖς σοφισταῖς ἔθος πολλὰ ἀπολαύειν τῆς τέχνης. καὶ οὕτως ἄρα πόρρω εἰμὶ τοῦ κερδαίνειν τι ἀπὸ τῆς ἀγέλης, ὥστε τοῦτό γε οὐδ' ὅσοι με σοφιστὴν ὀνομάζουσι, τολμῶσι προσλοιδορεῖσθαι· ἀλλὰ καὶ τοὔμπαλιν, φασὶ ζημιούμενον καὶ σιτοδοτοῦντα καὶ ἀριθμοῦντα ἀργύριον, οὕτω προσάγεσθαι τὸ συνέχον τὸ ποίμνιον. καὶ εἴην ἄν, ὡς ἔοικεν, ἐγὼ κατὰ τούτους ἕτερον τρόπον ἔμμισθος θηρευτής, οὐκ ἐπειδὴ λαμβάνω μισθόν, ἀλλ' ὅτι προσδαπανῶμαι. ἐγὼ οὖν καὶ περὶ ταύτης τῆς βλασφημίας ἢ εὐφημίας, ὦ ἄνδρες, ὧδε ἔχω γνώμης. τὸ μὲν ἐπαρκεῖν ἁπλῶς καὶ ἀναλίσκειν τοῖς ὁμιληταῖς δεομένοις, πολύ μοι φαίνεται ἐλευθεριώτερόν τε καὶ μεγαλοπρεπέστερον ἢ στρεβλοῦν τι αὐτοὺς καὶ καταπίνειν καὶ ἄγχειν ἀναγκάζοντα ἀποτιννύναι μὴ οἵους τε ὄντας. αὐτὰρ οὔτ' ἐκεῖνο καθ' αὑτὸ ἀξιέπαινον, οὔτε τόδε· ἀλλὰ τὸ δὲ μὲν οὐδέ-

πώποτε ἀρετῆς σημεῖον, ἀλλὰ φιλοκερδοῦς καὶ ῥᾳσιχρηματου ψυχῆς, καὶ ἀτεχνῶς σοφιστικῆς καὶ ἐμμίσθου, εἴθ' ὑπὲρ τῶν Δημοσθένους δικῶν, εἴτε ὑπὲρ τῶν Ἀριστοφάνους δραμάτων, εἴτε ὑπὲρ τῶν πάντων ῥημάτων τε καὶ ὀνομάτων ὑπέχειν τὴν χρεῖαν ἔξω τῆς χρείας, καὶ χαλεπώτερον εἶναι τῶν δημοσίων πρακτόρων. ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης, ὁ μὲν ὀρθοέπειαν τε καὶ ὀρθορρημοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὅμως καὶ ἤστην καὶ ἐλεγέσθην. τὸ γὰρ ἐφ' οἱῳδὴ σχήματι παιδείας ἀργυρολογεῖν παρὰ τῶν νέων τε καὶ πλουσίων, τοῦτο εἶναί φησι σοφιστὴν ὁ προφητεύτης τοῦ καταλόγου τῶν λόγων οὓς Πλάτων ἐπ' αὐτῶν διεστήσατο. τοῦ τοιοῦ δὲ Ἴκκον τὸν γυμναστὴν τὸν Ταραντῖνον, οὐδὲ Ἡρόδικον τὸν συλλημβριανὸν παιδοτρίβην ἀφίησι τοῦ ὀνόματος, ἀλλὰ παραπετάσματα μὲν φησὶ ποιεῖσθαι τὼ ἄνδρε ἐκείνω τὰς τέχνας, τῇ δὲ ἀληθείᾳ σοφιστὰς ἱκανῶς εἶναι, ὅτι ἐχρηματίζοντο ἀπὸ τῶν νέων. καὶ ἴσως οὐκ ἂν μεθεῖτο οὐδὲ ὀκνήσειεν οὐδὲ τὸν Ἀριστοτέλους προσποιούμενον εἶναι προφήτην, εἰ μισθὸν πράττοιτο τῆς προφητείας, ἀλλὰ καθέξει τε καὶ ἀμφισβητήσει ὡς ὑπευθύνου. καὶ γὰρ εἰ σεμνὸν τὸ σχῆμα καὶ ἀληθινὴ ἡ σοφία, ἀλλ' οὐ χρή γε αὐτὴν καταβάλλειν καὶ ἀργυρείου δεικνυμένην ἄξιον. ἀλλ' ὅπερ λέγω, τὸ μὲν ἐφ' ὁτῳδὴ μαθήματι, εἴτε σπουδαιοτέρῳ, εἴτε φαυλοτέρῳ, μισθοφορεῖν παρὰ τῶν νέων, σοφιστικὸν νομιζόμενον, εἰ τῷ λόγῳ ξυνεποιήμεθα· ὁ δὲ χεῖρα ὀρέγων καὶ ἐπανορθῶν τὰ ἐνδεᾶ τῶν δεομένων, εἰ μὲν τὴν ψυχὴν βελτίω κατασκευάζων καὶ τῷ σώματι ἐπικουροίη, σχεδὸν ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐεργέτης· εἰ δὲ τῆς σαρκὸς ἐπιμελοῖτο, ἐπιβουλεύοι δὲ τῇ διανοίᾳ, σοφιστὴς μὲν ἂν εἴη καὶ ἀλαζών, μετριώτερος δὲ τοῦ ἀμφότερα λαβομένου. σκοπεῖσθαι οὖν χρὴ τί μὲν ὅπως

ἔχει, καὶ ἀναθεάσασθαι. καὶ δὴ συγχωρήσωμεν αὐτοῖς τὴν προφήτιν ὡς ἄρα ἐγὼ πολλῶν ἀργυρίων τοὺς ὁμιλητὰς μεμίσθωμαι καὶ ἐώνημαι, καί εἰσιν οἱ μὲν πολλοὶ ἄρα μναῖοι, οἱ δὲ, διμναῖοι, οἱ δὲ δὴ, ἄχρι ταλάντου. τί οὖν; ἀνάγκη μοι παρὰ φύσιν σμικρόν τι καὶ ἀπαυθαδίσασθαι· ἔστιν ὅντινα ἴστε μετὰ τὴν ἐμὴν συνουσίαν, (λέγω δὲ οὐκ εἴ τις χρόνον τινὰ εἰσέφρησεν εἰς τὸ διδασκαλεῖον ἢ μιμαννῆς, καὶ ἐκάθητο χασμώμενος ἐπὶ τοῦ ξύλου, ὃν οὐχ οἷόν τε ἦν ἐξελαύνειν κύνα λυττῶντα καὶ ῥόπαλον ἐπηρμένον· οὗτος γὰρ οὐκ ἐμοὶ ξυγγέγονε καὶ συνωμίλησεν, ἀλλὰ τῷ βόθρῳ τῷ ἐμῷ καὶ τῷ δωματίῳ· οὓς δὲ ἐγὼ ἐγκρίνω τε καὶ περὶ πλείστου ποιοῦμαι) ἔστιν ὅντινα μετὰ τὴν ἐμὴν συνουσίαν διαφθαρέντα, καὶ χείρω ἐξ ἀμείνονος γεγενημένον; καὶ πρόσθεν μὲν ἐπιεικῆ καὶ πρᾶον δοκοῦντα, νῦν δὲ τύφου μεστὸν καὶ ἀποπληξίας; καὶ πάλαι μὲν τοὺς πολλοὺς αὐτὸν ἀποδεχομένους, νῦν δὲ δυσχεραίνοντάς τε καὶ ναυτιῶντας; ἀκούσατε δὲ αὖ τινος τῶν ἐμῶν ἐπιτηδείων ὑψηλολογουμένου καὶ βρενθυομένου ἐπὶ τοῖς συνωνύμοις ἢ ὁμωνύμοις ἢ παρωνύμοις; ἢ αὐτοὶ μὲν μέτριοι φύσει εἰσίν, ἐγὼ δὲ αὐτοὺς ὄγκου ἐμπίπλημι καὶ χαυνότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας ἀνθρώπους ὅτι ἄμεινον ξυνίασι τοῦ Ἀριστοτέλους, ἐξ ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι, καὶ ἐμπιπλᾶσι τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου· αὐτοὶ δὲ ἐπαχθεῖς καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθά· ἀλλ᾽ ὅμως οὐκ οἴμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐδοκιμοῦντα ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ συνδειπνοῦντες, ἀλλ᾽ ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυμνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ προσίεται, ἀλλὰ δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις,

πόρρω αὖ οὗτος σοφιστοῦ ἀποκρίνοιτο. ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ μὴ πείθεσθε ὦ ἄνδρες τοῖς ὀνειρώττουσιν ὑπὲρ τῶν ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν ἐστὶ, καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως, καίτοι ὤφελεν αὐτῶν ὕπαρ εἶναι τὸ ὄναρ. οὐ γὰρ αὖ φαῦλον ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ μάλιστα ἐκ πλούτου δικαίου ἄνωθεν κατιόντος. οὗ αἱ πηγαὶ πόρρωθεν ῥέουσιν ἄγαν διαφανεῖς καὶ καθαραί, καὶ οὐδαμόσε αὐτὰς μολύνει ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μοι τὰ πατρῷα τοσάδε ἐστὶν, οὔτε ἐγὼ χρηματιστὴς καὶ πορειστικός. ὅ,τι αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο ὄναρ ἐστὶν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ πυροὺς βασιλικοὺς ἐκ καὶ τῶν σιτοφυλακίων τῶν δημοσίων· καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἴητε σοφισταί, οὐ μόνον ὑμεῖς οἱ ἐνταῦθα συγκαθήμενοι, ἀλλὰ καὶ οἱ νευρορράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σκυτοτόμοι, καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργασίας. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν οὐ σίτου μόνον διακοσίους μεδίμνους, οὐδὲ ἐλαίου ἴσα κεράμια· καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατήγοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον σφαδάζοιεν καὶ ἀγανακτοῖεν. ἀλλ' ὅτι μοι οὐ ταῦτα μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις· καὶ ταῦτα οὔτε λιπαρήσαντα, οὔτε θωπεύσαντα, οὔτε ἑτέρῳ προστάτῃ χρησάμενον καὶ προηγόρῳ, ἀλλ' αὐτοῦ παρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων γερῶν· ὅμως ταῦτά μοι ἐξὸν, οὐχ ὑπεῖξα, οὐδ' ὑπήκουσα, καὶ πάνυ προθυμουμένου. εἰ

δὲ ὀρθοῖς ἢ μή, κοινωνοὶ γένεσθε τῆς γνώμης. φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ, καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας μεταποιούμενος, καὶ τοῦτο τοὔνομα ἕλκων τε καὶ ἀναγκάζων, ἱσταμπεύει τὰ τείχη, καὶ ζυγομαχεῖ ταῖς ταμίαις, τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, οὗτος ψεύδεται μὲν τὸ τελωνεῖον, ἄττει δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι ἀναγκαίαν εἶχε, καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτορας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ αὐτός, ὦ ἄνδρες, τὸ μέρος. μετέχω γὰρ τῆς πολιτείας, καὶ τὴν ἐνθάδε ξυνοίκησιν προὐτίμησα τῆς ἐνεγκούσης· ἐν ᾗ εἴπερ τις διελέγχειν ἐθέλοι, κατατέμνεσθαι ἂν ἄξιος εἴην εἰ πυρὰν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ βαλάντιον ἔμελλε ζημιεῖν, οὐ τὸν λιμὸν ἀκεῖσθαι τῶν ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον τὴν ἐσθῆτα καὶ τοὔνομα περιῆφθαι οὐξοδεπὸν τῷ τελωνίῳ, ἀπηρνησάμην τὸ ἀτενῶς, καὶ οὐχ ἠξίωσα τοὺς προγόνους, οἳ τὰ αὐτὰ ἐφρόνουν περὶ βασιλέως καὶ φιλοσόφου, καὶ ἄμφω ἐνόμιζον κατοικεῖν ὁμοίως ἐν ταῖς κορυφαῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας, καὶ προσωτέρω οὐκ ἔχειν ἢ προσβήσεσθαι. τὸν δὲ οἰόμενον καὶ μεῖζόν τι ἕτερον ὀνειροπολοῦντα κάτω που ἐστὶ πλανᾶσθαι, οὐδὲ ἀνελθεῖν εἰς ἐκείνην τὴν σκοπιὰν ἣ ὑψηλοτάτη τέ ἐστι καὶ ὑπερκύπτει τὸν οὐρανόν, ἔνθεν οὐ μόνον γῆ καὶ θάλαττα ἄποπτος πᾶσα, ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ τοῦ Διός, καὶ ἡ ἀληθινὴ προεδρία, καὶ αἱ πηγαὶ τοῦ νέκταρος, καὶ ὁ λειμὼν τῆς ἀμβροσίας, οὗ ἀναβῆναι οὐκ ἔστι δέλτῳ χρυσῇ ἐποχουμένους. ἀλλ' εἴ τις ἐκείνης κρατήσει, καὶ ἐπαίροιτο τῆς ἀρχαίας καὶ

ἀθριπηδέστου, ἐν ᾗ Πλάτων καὶ Πυθαγόρας τὰ γράμματα ἐχαραξάτην. ποῖον οὖν ἐγὼ σιτοφυλάκιον ἐγκλείω τοῖς ὁμιληταῖς τοῖς ἐμοῖς; ποίους δὲ πυροὺς ἐπιχέω καθάπερ τοῖς νεωνήτοις τὰ καταχύσματα; καὶ Ἀρίστιππον μὲν τὸν κυρηναῖον καὶ ταῦτα δεκαπλάσιοι ὄντες οἱ Διονυσίου πυροὶ οὐκ ἐποίησαν σοφιστήν· ἐγὼ δὲ ὑπερακοντίζω καὶ τὸν Γοργίαν, ὡς ἔοικεν, ἐπὶ ταῖς τριάκοντα χοίνιξιν. ἀλλὰ δῆτα αὐτὸς μὲν ἀποκλείω τὸ ταμεῖον, καὶ ἦπον ἂν χαλκοῦν τῷ τρισείμενῳ ἢ ξύμπασαν ὁμοῦ γεωμετρείαν καὶ ἀριθμοῦ· ἀπεβουκόλησα δὲ ἕνα τῶν νέων χρυσόν τε ἄγαν καὶ τεθραμμένον ἐν ὀρφανίᾳ, ὃς οἰκουρεῖ παρ' ἐμοῦ, καὶ παρατίθεται δύο τραπέζας, τὴν μὲν, τρυφῆς γέμουσαν, τὴν δὲ, ἀργυρείων. καταπεριέχονται αὐταῖς καὶ ἐκκρέμανται οἱ Ἀριστοτέλους μὲν οὐδὲν δεόμενοι, βίου δὲ χρήζεσθαι καὶ τοῦ γεμίζεσθαι τὴν γαστέρα· καὶ δορυφορεῖ με ἐμβάλλοντα εἰς τὴν ἀγορὰν καὶ συρφετὸς οὗτος καὶ ἡ χυμαία, κεκραγότες καὶ ἐκβοῶντες ἐφ' ἑκάστῳ ῥήματι ὧν ἂν λέγω, καὶ διαβαλλόμενοι πρὸς ἀλλήλους, ὅστις ἄμεινον ἀποδοίη τὸ ἔργον ἐφ' ᾧ θητεύουσιν. εἰ τοιοῦτον ἐγὼ χορόν τε καὶ χορηγὸν συνεστησάμην, πάνυ ἂν εἴην σοφιστὴς, καὶ οὐδέν τι μεῖον ἢ Πρωταγόρας ἀποχρώμενος Καλλίᾳ τῷ λακκοπλούτῳ. ἀλλ' οὐδεὶς οὕτως εὐδόκιμος τῶν ἐμῶν μαθητῶν, οὐδὲ ὑπερβάλλων σιναμωρείαις· ἀλλὰ προσέρχονται μέν μοι καὶ ἀγαπῶσι, μισθὸν δὲ οὔτι εἰσφέρουσιν, οὔτε ἀποφέρομαι. τῷ οὖν αὐτὸς θηρεύω τε καὶ προσάγομαι; τίς ἡ ἐπῳδὴ καὶ ἡ μαγγανεία δι' ἣν οἱ πολλοὶ, ἀπολιπόντες καὶ τὴν ἀρχαίαν ἑλλάδα, καὶ τὴν πρόσοικον ἰωνίαν, ἐν αἷς ἀμφοτέραις διδασκαλεῖα μέγιστα φιλοσοφίας, ἔπειτα εἰς τὴν πόλιν ἡμῖν συμφοιτῶσι; καὶ οὐδὲν αὐτοὺς ἀποκωλύει ἐξ ὧν ἡ πόλις μεγάλη τέ ἐστι καὶ εὐδαίμων, καὶ οὐχ ἡδοναὶ ἐκκεχυμέναι, οὐ πανηγύρεων θόρυβος, οὐ χολῆς

σχολαίς καὶ ἡσυχίας, οὐχ αὐτοὶ οὗτοι οἱ ὀξὺ βλέποντες συκοφάνται, καὶ τὰς αἰχμὰς ὧν χερῶν ἐπισείοντες; ὀκνῶ μὲν εἰπεῖν ὦ ἄνδρες, μὴ καὶ ἀτεχνῶς δόξαιμι καλλωπίζεσθαι· συνελαύνουσι δὲ οἱ κατήγοροι τὰς ἀληθινάς με ἐπαγωγὰς, αἷς χρῶμαι ἐπὶ τοὺς νέους, εἰς τὸ θέατρον ἐξενεγκεῖν ἀντὶ τῶν ψευδῶν καὶ πεπλασμένων. καίτοι αἰσθάνεσθε αὐτῶν ἱκανῶς, καὶ οὐ σφόδρα ἀτήρητοι ὑμῖν εἰσιν· ὅμως δὲ ἔτι καὶ μᾶλλον ἀποκαλυπτέα καὶ γυμνωτέα. ἐμοὶ νέῳ ὄντι συγγράμματα ἄττα πεποίηται, ἐν οἷς τὸν κλῆρον κατεθέμην καὶ ἐθησαύρισα ὃν παρὰ τῶν ἐμῶν πατέρων διεδεξάμην. καὶ τὰ λέγει τὰ συγγράμματα ταῦτα ἴδιον μὲν οὐδὲν οὔτε ἐμὸν οὔτε ἄλλου· ἐμφανίζειν δὲ ἐπιχειρεῖ τὸν νοῦν τὸν Ἀριστοτέλους, καὶ ἐξάγειν ἐκ τῶν ῥημάτων ἐν οἷς ἐκεῖνος αὐτὸν καθεῖρξέ τε καὶ ἐφράξατο, τοῦ μὴ ἐπίδρομον εἶναι τοῖς παντάπασιν ἀμυήτοις. καὶ ταῦτα ἐγὼ τὰ συγγράμματα ἄλλῳ μὲν οὐδενὶ πώποτε ᾤμην οὔτε χρείαν ἕξειν, οὔτε ἔσεσθαι σπουδαῖα. οὐδὲ γὰρ οὕτω πολυτελῶς καὶ ἀνδρείως ξυντεθέντα αὐτὰ ἠπιστάμην, ἐμαυτῷ δὲ μόνῳ μνημόσυνα καὶ ἀποθήκην ὧν ἠκηκόειν· ἵν᾽, εἴποτε ἀποφύγοιτο τὴν μνήμην, ἐξῇ μοι ὥσπερ ἐκ ταμιείου λαμβάνειν ἀσφαλοῦς τε καὶ ἀναλώτου ἀπὸ τῆς λήθης. διὰ ταῦτα οὖν ὀρρωδοῦντός μου ὑπὲρ αὐτῶν, καὶ ἐν φυλακῇ ποιουμένου, ὅπως ἂν μὴ θύραζε ἐκφοιτήσαιεν, λανθάνουσιν οἱ λόγοι οὗτοι ἀποδράντες οὐκ οἶδα ὅπως, καὶ μετὰ σπουδῆς κυλινδούμενοι ἐξ ἄλλου εἰς ἄλλον, ἀφικνοῦνται εἰς σικυῶνα. ᾤκει δὲ ἐν σικυῶνι τηνικαῦτα ἀνὴρ ὃν ἐγὼ φαίην ἂν ἀτρεκέστατά τε καὶ ἀδολώτατα τῶν γε ἐπ᾽ ἐμοῦ ἑλλήνων ἀντειλῆφθαι φιλοσοφίας, ἀκουστὴς μὲν γεγονὼς τοῦ χαλκιδέως πρεσβύτου, θεραπεύων δὲ οὐ τὴν νέαν ᾠδὴν, ἀλλὰ τὴν παντέλειον καὶ ἀρχαίαν τῆς ἀκαδημίας καὶ τοῦ λυκείου, οὐχ οἷος κολούειν τι καὶ παρίεσθαι καὶ βασκαίνειν

εἰ χρηστοῦ τινος ἑτέρου μεταποιοῖτο, ἀλλ' οἷος συνεξορμᾶν καὶ συνωδίνειν οἷς ἂν αἴσθοιτο φυομένοις περὶ ἀρετήν. οὗτος ὁ ἀνὴρ μικρὰ ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ, εἴτε παιγνίᾳ, τοσοῦτον μικροῦ ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσόφῳ καὶ Ζήνωνι τῷ Κιτιεῖ καὶ τῷ Γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα μὲν γὰρ ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίηται ὑπὲρ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας, καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι γυνὴ εἴη, ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ Γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος, (οὐκ αὐτῷ ἐκείνῳ Γοργίᾳ, ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγραψεν ἐπ' ἐλέγχῳ τοῦ σοφιστοῦ) αὐτίκα ἀφεὶς τὸν ἀγρὸν καὶ τὰς ἀμπέλους, Πλάτωνι ὑπέθηκε τὴν ψυχήν, καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τε ἐστὶ καὶ ᾀδόμενα ὑπὸ πολλῶν, ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης ἤγαγεν εἰς τὴν Ποικίλην. αὐτὸς μὲν δὴ ἀνὴρ ἐκεῖνος οὐκ ἐδεῖτο ἐπισπεῖσθαι, ἣν δὲ ὠνόμαζεν ἀγέλην αὐτίκα ἐξώρμα ἅπασαν εἰς τὸν Βόσπορον. καὶ ἐπειδὴ ἠμφισβήτουν οἱ νεανίαι, πέμπει εἰς θεοῦ πευσομένους εἰ ἄρα ἄμεινόν τι ἐκεῖνος γινώσκει. καὶ φέρει τὴν αὐτὴν ψῆφον ὁ θεὸς οἵαν πάλαι ἐπὶ Σωκράτην. ἐπιστεύσατε, ὦ ἄνδρες, νὴ τὸν Ἀπόλλω ἐκεῖνον, ὅτι ταῦτα ἐγὼ οὐ μῦθον συμπλάσας ὥσπερ μειρακίοις περιάγω, οὐδὲ καταπλήττομαι ὑμᾶς τῷ κριτῇ, οὐδὲ καλλωπίζομαι καὶ ἀβρύνομαι ἄνευ ἀνάγκης· ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλως ἀμύνασθαι τοὺς λοιδορουμένους τε καὶ τοὺς βλασφημοῦντας, ἢ πολλῷ ἀμείνους ἐπιδεικνύντα τοὺς ἀγαπῶντας καὶ εὐφημοῦντας. ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος πρὸ μὲν τοῦ οὐκ ἐξέφαινε τοῦ Πυθίου τὴν μαρτυρίαν· ἐπεὶ δὲ αὐτὸν Λύκων τε καὶ Ἄνυτος διεβαλλέτην, καὶ Μέλιτος ἐφειστήκει

γεγραμμένος ὡς σοφιστὴν καὶ διαφθορέα τῶν νέων, τότε δὴ ξυνηναγκάσθη τοῖς δικασταῖς ἀναβιβάσασθαι μάρτυρα τὸν θεόν. ἀλλ᾽ ἐκεῖνοι μὲν οἱ δικασταὶ ὑπ᾽ ἀγνωμοσύνης παραυτίκα ἐξηπατήθησαν, καὶ ἐγοητεύθησαν ὑπὸ τοῦ λόγου ὃν ξυνέγραψε Πολυκράτης, Ἄνυτος δὲ ἐμισθώσατο. δῆμος γὰρ ἦσαν καὶ οὐδὲν ἱερόν. ὑμεῖς δὲ ἔκκριτοι ἁπανταχόθεν, καὶ προσέτι κοινωνεῖτέ μοι τοῦ ἀγῶνος. τὸ γὰρ ἄμεινόν τι εἶναι ἐμὸν πρᾶγμα ἢ κατὰ σοφιστήν, οὐκ ἄλλοι τινὲς πρότεροι ὑμῶν καὶ ὑπέλαβον καὶ ἐπεψηφίσαντο. μῶν ἄρα ἔτι θαυμαστὸν εἰ τοιούτοις ἐγὼ χρώμενος ἄρκυσί τε καὶ συλλήπτορσι τοῦ κυνηγεσίου, ἐθηρευσάμην ὀλίγους νέους, καὶ τοιούσδε ὑπὲρ ἐμαυτοῦ κεκτημένος ἐπιστάτας καὶ μισθοδότας, προσηγαγόμην τοὺς λίχνους τῶν μαθητῶν; οὐ γὰρ λίαν, ὡς ἔοικε, φαῦλαί εἰσιν αἱ ἄρκυς τε καὶ τὰ δίκτυα ὧν μικροῦ ἔμπροσθεν ἐμνήσθην, ἅ με ἀποδραίνοντα τῆς οἰκίας αὐτόματα περιθεῖ, ὥσπερ τὰ Δαιδάλου ἔργα, σαγηνεύοντα καὶ συμπλέκοντα τοὺς νέους ὅσοι μὴ βεβυσμένοι εἰσὶ τὰ ὦτα· καὶ προσάγει μοι τὸ ἄγραν οὔτε μέγα οὔτε μικρὸν πραγματευομένῳ. ἀλλ᾽ ἐκεῖνο θαυμαστὸν τῶν κατηγόρων, ὅτι ἐξὸν αὐτοῖς τὰ δίκτυα ταῦτα, ἐν τῷ μέσῳ οὑτωσὶ περιιόντα ἔχοντα καὶ ἐν ταῖς χερσὶ τῶν ἀνθρώπων, καταγαγεῖν ἀπὸ τῶν χαλίδων, καὶ διασπάσαι τὰ ἀκρωλένια, καὶ ἐπιδεῖξαι τοὺς βρόχους ὅτι λαπαροί εἰσι καὶ ἀσθενεῖς, καὶ ὑπὸ ἀγνοίας αὐτοῖς οἱ ἄνθρωποι ἐγκαταδοῦνται· οἱ δὲ τοῦτο μὲν ἢ οὐχ οἷοί τέ εἰσιν, ἢ οὐ προχειροῦνται, ὥσπερ δὲ τὰ φαῦλα τῶν κυνιδίων ὑλακτοῦντα ἀεὶ καὶ θορυβοῦντα, ταῦτα μὲν ὀνίναται οὐδέν, ἀποσοβεῖ δὲ τὴν ἄγραν. εἶεν. τὸν μὲν δὴ ἔμμισθον σοφιστὴν μόλις πως ἄρα διαπεφεύγαμεν. σκοπῶμεν δὲ ἐφεξῆς τὸν ἔμπορον καὶ τὸν κάπηλον καὶ τὸν αὐτοπώλην, εἰ ἄρα τούτων ἡμῖν προσέστι τι τῶν ὀνομάτων. λέγει τοίνυν ὁ θεσπέσιος Πλάτων ὁ

e.ij.

> οὔσης περὶ τέχνης ἀλλακτικῆς, ἢ διαμείβεται ὧν δίδωσιν ἃ λαμβάνει, ἡ μὲν ἐξ ἄλλης πόλεως εἰς ἄλλην ὠνῇ τε καὶ πράσει χρωμένη καὶ μεταβάλλουσα τὰ ἀγώγιμα, ἐμπορικὴ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων· ἡ δὲ ἐν πόλει μιᾷ κατὰ μὲν ἀλλακτικὴ τῶν αὐτῶν τούτων, εἰ μὲν αὐτουργοῦσα τὰ αὐτῆς ἔργα νομίσματος ἀποδιδοῖτο, (ὥσπερ οἱ μάγειροι καὶ οἱ βαλανεῖς) αὐτοπωλικὴ ἂν ἐν δίκῃ καλοῖτο· ἡ δὲ τὰ ἀλλότρια ὠνουμένη, καπηλική.

τούτων δὴ οὖν τῶν πειρῶν ἑκάστην μίαν οὖσαν, σχίζεσθαι διχῇ τῇ αὐτῇ τομῇ, καθ' ὅτι ἀλλήλων διαφέρει τὰ ἀγοράσματα. ἔμπορον γὰρ τὸν μέν τινα εἶναι σιτίων τε καὶ ἱματίων καὶ ὑποδημάτων, καὶ ἐν βραχεῖ ὅσων τὸ σῶμα τὸ ἡμέτερον ἐπιδεές· τὸν δέ τινα, λόγων τε καὶ μαθημάτων οἷς ψυχὴ τρέφεται ἢ κολακεύεται, ὁμοίως δὲ αὖ κάπηλον, ὁμοίως δὲ καὶ αὐτοπώλην. εἴτε οὖν μουσικήν τις, εἴτε γραμματιστικήν, εἴτε ζωγραφίαν, εἴτε ἄλλο τι ψυχῆς ὠφέλημα ἢ παραμύθιον ἐκ πόλεως εἰς πόλιν μετάγων, ἔνθεν μὲν ὠνοῖτο, ἑτέρωθι δὲ ἀποδιδοῖτο, ἔμπορος οὗτος οὐδέν τι μεῖον ἢ Λάμπις ὁ αἰγινήτης· εἴτε αὐτοῦ καθιδρυμένος ἐν πόλει, καὶ τὰ μὲν ὠνούμενος μαθήματα, τὰ δὲ καὶ αὐτὸς τεκταινόμενος πωλοίη καὶ ἀλλάττοιτο ἀργυρίου, κάπηλος οὗτος ἢ αὐτοπώλης κομψότερος μικρῷ Σαράμβου καὶ Θεαρίωνος. καὶ οὕτως αὖ τετρακέφαλόν τινα αὖθις ὥσπερ τὸν Γηρυόνην ἀποφαίνει τὸν σοφιστήν. τίνι οὖν με τῶν ἀλλακτικῶν ἐγγράφουσιν οἱ κατήγοροι; μῶν τῷ πλανήτῃ, ἢ τῷ σταδιαίῳ; ἐγὼ τοίνυν πολλαῖς μὲν ὡμίλησα πόλεσι καὶ ξυνεγενόμην, καὶ ἀπεδήμησα μακρότερα ἢ ὁ Σωκράτης, οὐχ ὅσον εἰς Ποτίδαιαν στρατευόμενος. ἀλλ' ὅπλα μὲν οὐχ ἤνεγκα ὑπὲρ ἡμῶν, ὑμῶν δὲ αὖ ἕνεκεν πολλὴν γῆν ἐπῆλθον καὶ πολλὰς πόλεις μεγάλας τε καὶ εὐδαίμονας ἀτὰρ δὴ καὶ τὴν μητρόπολιν τὴν ἡμετέραν. οὐ τὰ ἀρχαῖα μέγαρα λέγω, ἀφ' ὧν ὡρμήθησαν

ἢ τῷ Βοσπόρῳ προσοικήσαντες, ἀλλ' ἢ τῶν μὲν ἄλλων πόλεων βασιλεύει, τῇ δὲ ὑμετέρᾳ συμβασιλεύει. καὶ εἰ μὲν τι καὶ ἄλλο χρηστὸν ἐξ ἐκείνης ὑμῖν ὑπῆρχε τῆς ἀποδημίας, οὐκ ἂν διϊσχυρισαίμην· ἤγαγον δ' οὖν αὖτις τὰ ἀγώγιμα ὅσα τέ μοι πρότερα ὑπῆρχε, καὶ ὅσα παρ' ὑμῖν ἐνθένδε ἐπορισάμην ἐν εἴκοσιν ὀλίγοις ἐνιαυτοῖς, πολλὰ μὲν ἐκ τῶν ἀρχαίων συλλεξάμενος θησαυρῶν τῆς μνημοσύνης, ἔστι δὲ ἃ καὶ αὐτουργήσας. καὶ ὅπως δὴ οἱ πάντες ἐκεῖνοι περιφρονοῦντες καὶ οὐδὲν τῶν ἔξωθεν ἀφικνουμένων θαυμάζειν ἢ ἐθέλοντες ἢ δυνάμενοι, διὰ τὴν περιουσίαν τῶν οἴκοι θαυμάτων, ὅμως τοσόνδε ἑάλωσαν καὶ ἐκρατήθησαν ὑπὸ τῶν ἀγωγίμων τῶν ἡμετέρων, ὥστε πολλὴν μὲν χώραν καρποῦ διδόντες ψιλὴν καὶ πεφυτευμένην, πολὺ δὲ ἀργύριον, πολὺ δὲ χρυσίον, ἰόντες τε εἰς τὴν κατάλυσιν ὁσημέραι, καὶ θαυμαστὰ δρῶντες ὅπως ἂν χρόνον τινὰ ἐκεῖ διατρίψας, πάλαι κεκλεισμένα τὰ Πυθαγόρου τε μὲν καὶ τοὺς Πλάτωνος καὶ Ἀριστοτέλους νεὼς ἀναπετάσαιμι αὐτοῖς κατὰ δύναμιν, καὶ δείξαιμι τὰ ἀγάλματα, ἐπειδὴ πείθειν οὐχ οἷοί τε ἦσαν, ἀλλ' ἐγὼ τὰ μὲν ἀγώγιμα προῖκα ἐδίδουν, αὐτὸς δὲ ὀπίσω παρ' ὑμᾶς ἱέμην, χρείας τε ἐπειρῶντο προσάγειν, καὶ ἐπίκουρον τῷ ἔρωτι τὸν μέγαν παρακαλεῖν βασιλέα. καὶ τούτων τίνα ἄλλον μάρτυρα ἂν ὑμῖν παρασχοίμην ἀξιοπιστότερον αὐτοῦ βασιλέως, οὗ καὶ διεγνώσθη ὑμῖν ἐν τῇ βουλῇ ἤδη ἡ μαρτυρία; πῶς δῆτα οὖν ἐμπορευσαίμην ἐγὼ τὴν σοφίαν; καὶ παρὰ τίνας ἀφικνούμενος ἄλλους ἀνθρώπους ἢ παρ' οἷς μάλιστα καὶ πλεῖστον ἐξῆν; οὗτοι δωτίνην ἀπέλαυσαν τῆς ἐμπορίας. καὶ οὐ λέγω τὸ ἄστυ τοῦ Ἀντιόχου, οὐδὲ ὅσοις ἐκεῖ ξυνέμιξα ἀνδράσι τὰ ἐμὰ φορτία μαστεύουσι καὶ περιποιουμένοις, οὐδὲ ὅσοις ἐν Γαλατίᾳ τῇ Ἑλληνίδι. καὶ αἱ μὲν πόλεις, οὐχ οὕτω μεγάλαι, οὐδ' οἷαι τῇ μεγίστῃ ἀμφισβητεῖν· οἱ δὲ ἄνδρες ἴστε ὅτι ὀξεῖς καὶ ἀγχίνοι, καὶ

ἀμαθέστεροι τῶν ἄγαν ἑλλήνων· καὶ τελβωνίου παραφανέντος ἐκκρέμανται εὐθὺς, ὥσπερ τῆς λίθου τὰ σιδήρια. οὗτοι οἱ ἄνδρες τί οὐκ ἂν προέσοιντο ὥστε κύριοι γενέσθαι τῆς ἐξαγωγῆς τῶν Πλάτωνος μαθημάτων, ἢ ὑπὲρ τῶν Δημοσθένους δικῶν, καὶ τῆς Θουκυδίδου ξυγγραφῆς, μικροῦ ἴσα πλουτοῦντες τοῖς τούτων ἐμπείροις ὁπόσα Ξέρξης Θεμιστοκλεῖ τῷ Νεοκλέους; καὶ οἶδα ὅτι συγκάθηνται πολλοὶ καὶ συνδικάζουσι πολλοὶ ἐξ ἐκείνων τῶν πόλεων. πυνθάνεσθε οὖν παρὰ τούτων εἰ ταῦτα ἐγὼ ἀληθῆ λέγω. καὶ ὅτι μὲν ἔμπορος οὐκ ἂν εἴην τινῶν μαθημάτων, παρ' ἄλλων πυνθάνεσθε καὶ ἐπιζητεῖτε· ὅτι δὲ οὔτε κάπηλος οὔτε αὐτοπώλης, αὐτοὶ δὴ ὑμᾶς αὐτοὺς ἐρωτᾶτε, εἰ ἐγὼ κάθημαι ἐπὶ ἐργαστηρίου τι περιφέρων λογάρια μικρὰ ἢ μεγάλα, καὶ προὐταξάμην τὸ ζῆν ἐκ τοιαύτης τινὸς ἐργασίας, καὶ ταῦτα ὥσπερ οἱ ἄγαν σοφιστεύοντες τῶν καπήλων προσδοκῶντες τὴν ἀριστῆρα, κεκράγασι καὶ ἐκβοῶσιν ὅτι τοῦ νέκταρος ὄδωδε τὸ πόμα ἐκεῖνο, καὶ ἡ κοτύλη πολυχανδεστέρα φρονοῦσα ὑπὲρ ὧν λέγω, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένην οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς, ἀλλὰ τὰς ἐκείνας δι' ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περικρούουσα ἐκκαθαίρει καὶ βεβαιοῦται. διὸ οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πίσματα αὐτῶν ἐνθένδε ἐξῆπται, καὶ ὅτι ἀρχιτεκτονοῦσα, αὐταῖς ἐπιστατεῖ, καὶ ὑφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων. οὐ γὰρ ὅτι αὐτὴ προὔργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις, οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς· πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία· καὶ βούλεται οἷον ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας, γνωματεύειν ἑκάστην, καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ, εἴτε βλαβερὰ καὶ ἀκροσφαλής· καὶ τὴν τινὰ μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, τὴν τινὰ δὲ αὖ παντάπασιν ἐξοριστέον

ὡς αἴτιος πόλεως ἐν τοῖς ἀρρωστήμασι. τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ' ἑαυτῇ τεταγμένα χειρουργεῖν ἱκανή, καὶ παρασκευάζειν τοῖς δεομένοις· ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής· ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πενηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα. καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται, οὔτε ὁ ναυπηγός, εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἀρμονίδης· οὔτε ὁ κυβερνήτης, εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν. εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται, καὶ οὐ ξυγχωρήσει ὥσπερ τυφλοῖς προτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι. τοῦτ' οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙ ΤΗ ΦΙΛΑΝΘΡΩΠΙΑ τοῦ αὐτοκράτορος Θεοδοσίου. ἐρρήθη δὲ ἐν τῇ συγκλήτῳ, λόγος πέμπτος.



ΛΥΚΟΥΡΓΟΝ τὸν Σπαρτιάτην ἐν Δελφοῖς εἰς τὸ μέγαρον εἰσιόντα οὕτω προσεῖπεν ἡ Πυθία, Ἥκεις ὦ Λυκόεργε ἐμὸν ποτὶ πίονα νηόν, Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι. Δίζω ἤ σε θεὸν μαντεύσομαι, ἢ καὶ ἄνδρα. Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόεργε. διὰ τί μᾶλλον θεόν, ὦ Λοξία; ἆρα ὅτι νίκας ἐνίκησεν ὁ βασιλεὺς οὗτος περιβοήτους, καὶ ἐστόρεσε νεκροὺς πολεμίων; ἢ ὅτι ἐδορυφόρουν αὐτὸν αἰχμοφόροι

καὶ μηλοφόροι χρυσοῖ ἐσταλμένοι; ἢ ὅτι χρυσᾶ ἅρματα αὐτοῦ προεπόμπευε νισαίων ἵππων; ἢ ὅτι αὐτὸς ἐκεκόσμητο στρεπτοῖς καὶ πάρᾳ καὶ ἁλουργίδι; ἀλλὰ τὸν μὲν ἑλλησπόντιον ξένον ἐξέπληξεν εἰκότως αὐτὴ σύμπασα ἡ σκευὴ καὶ ἀλαζονεία, ὥστε θεὸν νομίσαι Ξέρξην τὸν Δαρείου· ἐγὼ δέ, φαίη ἂν ὁ Ἀπόλλων, ταῦτα μὲν οἶδα ὀλίγου ἄξια, καὶ πολλοῖς ὑπάρξαντα μοχθηροῖς καὶ ἀνοήτοις δυνάσταις, οἷς οὐχὶ θεοῖς οὐδὲ ἀνθρώποις ἄξιον προσειπεῖν· ὥσπερ αὐτὸν ἐκεῖνον τὸν Ξέρξην, οὕτως ἀπόπληκτον ὄντα ὥστε μαστιγοῦν τὴν θάλατταν, καὶ πέδας ἐμβάλλειν τῷ ἑλλησπόντῳ· ᾧ παρ' οὐδὲν ἦν καὶ ἐν φαύλῳ ἀνθρώπου ἀποτεμεῖν κεφαλήν. διὰ τοῦτο οὖν ὑπὲρ ἐκείνου μὲν εἴ τις με ἤρετο, οὐκ ἂν ἐδίσταζα εἰ θεὸς ἢ ἄνθρωπος ἦν, ἀλλ' εἰ ἄνθρωπος ἢ θηρίον. οὐδὲ γὰρ ὕστερον περὶ Νέρωνος τοῦ ῥωμαίου, εἰς τὸν αὐτὸν τοῦτον νεὼν ἡνίκα ἀφίκετο, ἐδίστασα εἰ θεὸς ἀφίκετο· ἀλλ' οὖν ἤδειν ὅτι θηρίον ἐν μορφῇ ἀνθρώπου. καίτοι ἀφίκετο κιθάραν μετὰ χεῖρας ἔχων, καὶ ἐν στολῇ κιθαρῳδικῇ, ἣν ἐμοὶ φίλην ὑπολαμβάνουσιν οἱ ποιηταὶ καὶ οἱ ζωγράφοι· ἀλλ' ὅτι ἡ ψυχὴ αὐτοῦ ἄμουσος καὶ ἀνάρμοστος ἦν, καὶ ἐνέπλησε φόνων τὴν ἀρχὴν οὐ μόνον ὀθνείων, ἀλλὰ καὶ ἐγγενῶν, οὐχ ὅπως ἥσθην εἰσιόντι, ἀλλ' ἐμυσάχθην καὶ ἀπεστράφην, καὶ ἀπεστεφάνωσα ἐξιόντα, λαβόμενος τῆς κόμης τῇ ταινίᾳ. ἐπεὶ οὐδὲ Κροῖσόν ποτε τὸν λυδὸν ἐν μεγάλῳ ἐποιησάμην, καίτοι ἐμπλήσαντα τὸν σηκὸν πλίνθων χρυσῶν καὶ ἡμιπλινθίων· ἀλλὰ τρυφῆς ἦν καὶ οὐκ ἀρετῆς ὁ ποδαβρὸς ἐπωνυμία. τί οὖν ἐστιν ὃ ἐν Λυκούργῳ κατανοήσας, μᾶλλον ἐθέμην τῷ θείῳ προσρήματι ἢ τῷ ἀνθρωπίνῳ; ἡ πρᾳότης καὶ ἡ δικαιοσύνη καὶ ἡ εὐσέβεια, καὶ ἡ τούτων ἔξαρχος φιλανθρωπία, καθ' ἣν μόνον δύναται βασιλεὺς θεῷ ὁμοιοῦσθαι. παραλαβὼν γὰρ τὴν σπάρτην ἀνομώτατα διακειμένην, καὶ πολέμου ἔμπλεω, μεστὴν

εἰρήνης πανταχόθεν ἐποίησε καὶ ἀνομίας. καὶ οὕτω πρᾶος καὶ ἵλεως ἦν, ὥστε καὶ τὸν ἐκκόψαντα αὐτοῦ τὸν ὀφθαλμὸν ἐν τῇ ἐκκλησίᾳ καταλεύειν ὡρμημένων λακεδαιμονίων, πειρισῶσαί τε καὶ ἐξελέσθαι, καὶ παραλαβὼν οἴκοι τὸν ἄνθρωπον, οὕτω παιδεῦσαι καὶ ἡμερῶσαι ὥστε αὐτῷ κακοῦ πολίτου χρηστὸν ἄνθρωπον ἀποφῆναι. ἠπίστατο γὰρ, ὡς ἔοικεν, ὅσῳ ὁ βασιλεὺς ὅτι οὐκ ἀντιβλάπτοντα χρὴ τὸν ἀγαθὸν βασιλέα, ἀλλ' εὖ ποιοῦντα, μείζω φαίνεσθαι τῶν ἠδικηκότων. ἀρετῆς γὰρ αὕτη νίκη, τιμωρία δὲ, δυνάμεως. τοιῶνδε δὴ οὖν, ὦ φίλε Γύθιε, καὶ πρὸς ἡμᾶς σοι ἀποκριτέον. εἰ γὰρ μιᾶς πόλεως βασιλεὺς, ἢ μέρος σμικρὸν πελοποννήσου, καὶ πένης μὲν αὐτὸς, πενήτων δὲ ἄρχων, σιτούμενος δὲ ἐν φιλιτίῳ καὶ πίνων ἐκ τοῦ ἀρῶτα, διὰ πρᾳότητα μόνον παρέσχε σοι ἀμφιβολίαν ἐπιῷ ὀνόματι προσρητέος, τί φαίης ἂν ὦ μακάριε περὶ τοῦ πάσης σχεδὸν βασιλεύοντος γῆς καὶ θαλάττης, δι' ὃν ὑποκύπτει μὲν ῥωμαίοις ἡ ἕως, ἀβρομίζει δὲ ἡ ἑσπέρα, θεραπεύει τε ἅπαντα φῦλα ὅσα τὰ ἤδη ὑπ' αὐτοῦ κυβερνᾶται, καὶ ὅσοις ἐν ἀρχαῖς ἡ τούτου ἐστὶν ἐπιτροπεία· ὅτι οὕτω πρᾷος καὶ ἥμερος καὶ γαλήνης γέμων, ὥστε καὶ τοὺς ἀδικεῖν εἰς τὴν ἀρχὴν ἐλεγχθέντας, ὑπὸ τοῦ νόμου κατακριθέντας ἐξελέσθαι τῆς ἐκ τοῦ νόμου ἀνάγκης, καὶ ἐπαναγαγεῖν εἰς τὸν ἥλιον ἐκ τῶν πυλῶν τοῦ ἀχέροντος; ἄρα διστάσεις καὶ ἐπισκέψῃ πότερον θεὸς ἢ ἄνθρωπος εἰσελήλυθεν ἡμῖν εἰς τὸν νεών; καὶ οὐκ ἀποφανῇ θαρραλεώτερον ἢ περὶ τῆς ψάμμου ὁπόση ἐστὶν ἐν τῇ γῇ, τούτῳ τῷ βασιλεῖ προσήκειν τῆς ἄνωθεν προσηγορίας. πάλαι μὲν γὰρ τοῦτο αὐτὸ ἀγαστὸν ἦν ὅτι χρυσὸν ἑωρῶμεν πολλάκις ἐκ τῶν δύο μόνων ταμιείων ἐπανιόντα πρὸς τοὺς οὐ δικαίως εἰσπεπραγμένους· νῦν δὲ εἴδομεν ἀνθρώπους ἐκ τῶν τοῦ ᾅδου προθύρων εἰς τὸ ζῆν ἐπανιόντας.

ους ὁ μὲν νόμος ἐκεῖσε ἀπήγεν, ὁ δὲ τοῦ νόμου κύριος ἐκεῖθεν ἐπανήγαγε, γινώσκων ὅτι ἄλλη μὲν δικαστοῦ, ἄλλη δὲ βασιλέως ἀρετὴ, καὶ τῷ μὲν προσήκει ἕπεσθαι τοῖς νόμοις, τῷ δὲ ἐπανορθοῦν καὶ τοὺς νόμους, καὶ τὸ ἀπηνὲς αὐτῶν καὶ ἀμείλικτον παραδεικνύναι, ἅτε νόμῳ ἐμψύχῳ ὄντι, καὶ οὐκ ἐν γράμμασιν ἀμεταθέτοις καὶ ἀσαλεύτοις. διὰ τοῦτο γὰρ, ὡς ἔοικε, βασιλείαν ἐκ τοῦ οὐρανοῦ κατέπεμψεν εἰς τὴν γῆν ὁ θεὸς, ὅπως ἂν εἴη καταφυγὴ τῷ ἀνθρώπῳ ἀπὸ τοῦ νόμου τοῦ ἀκινήτου ἐπὶ τὸν ἔμπνουν καὶ ζῶντα. δεῦρ' ἴτε οὖν ὦ φίλαι Μοῦσαι, καὶ τὸν νέον τὸν βούλιον ἡμῖν συνοικεῖτε, συνέμοι λάβεσθε τοῦ ὕμνου ὃν ἀπάρχομαι αὐτῷ ἐπὶ τῇ ἔναγχος φιλανθρωπίᾳ. ἰδοὺ γὰρ ὁ ἀνὴρ οὕτως ἀσπάζεται ὑμᾶς, ὥστε ὁμόσκηνον ποιῆσαι ὑμῖν τὴν βασιλίδα, καὶ ἵστασθαι αὐτῇ ἄγαλμα ἐν τῷ αὐτῷ τούτῳ σηκῷ, ἵνα καὶ αὐτοῦ βασιλέως καὶ τοῦ παιδὸς τοῦ βασιλέως. καὶ διὰ τοῦτο ἔσονται ὑμῖν οἱ χοροὶ ἤδη γεραρώτεροι τῇ κοινωνίᾳ. ἀρκτέον δὲ ἡμῖν οὐκ ἔνθεν ὅθεν περ Ομηρος παραγγέλλει. οὐ γὰρ μῆνιν ἄσεσθαι οὐλομένην, ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν· ἀλλὰ πρᾳότητα καὶ φιλανθρωπίαν, δι' ἧς ἐπέδειξεν ἅπασι βασιλεὺς ὅτι παντάπασιν αὐτῷ ἀπὸ θυμοῦ καὶ ἀλλοτρία ἡ μέλαινα ψῆφος. καὶ τοῦτο σημεῖον τοῦ λαβεῖν αὐτὴν βασιλέα τὸ μέλαιναν μεῖναι. οὐ γὰρ δὴ ἐλθοῦσά γε εἰς αὐτὸν οὐκ ἀλλοχροήσει. τὴν μὲν γὰρ ἀσπίδα οἶδεν ἐπ' ἄμφω νωμᾶν ἐπὶ δεξιά τε καὶ ἀριστερὰ, τὴν ψῆφον δὲ ἐπὶ δεξιὰ μόνον, ἐπ' ἀριστερὰ δὲ οὐκ οἶδεν. οὐδὲ ἔστιν αὐτῷ χρυσοῦ τάλαντα, ὥσπερ Ομηρός φησι, τῷ Διῒ ζωῆς καὶ θανάτου, οὐδὲ καθέλκεταί ποτε ἡ ῥοπὴ ὑπὸ τοῦ θανατηφόρου ἢ ζωηφόρος, ἀλλ' ἐξαίρεται ὑψοῦ ἀεὶ πρὸς τὸν οὐρανὸν, χαμαὶ πιπτούσης τῆς ἐπὶ τὸν ζόφον ἀγούσης. ἀλλ' οὐδὲ δύο πίθοι κατακείαται ἐν τῷ βασιλέως ἐδάφει, ὥσπερ αὖ Ομηρος λέγει ἐν τῷ τοῦ Διὸς οὐδεὶ κατα-

κεῖσθαι δύο πίθους κηρῶν ἐμπλείους, τὸν μὲν, ἐσθλῶν, τὸν δὲ ἕτερον, ἐναντίων· βασιλεῖ δὲ οὐκ ἔστιν ὁ πίθος ὁ τοῦ θανάτου, ἀλλ' ὁ τῆς ζωῆς μόνος μεστὸς ἀεὶ καὶ ὑπερχειλής, ἐξ οὗ ἀκράτου αὐτὴν ἀρύεται καὶ χορηγεῖ τοῖς ἀνθρώποις. πεπίστευκε γὰρ εὖ ποιῶν τῷ λόγῳ τῷ ἀστείῳ, ὃς τὴν καρδίαν τοῦ βασιλέως λέγει, εὖ λέγων, ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖσθαι, ἣν οὐχ οἷόν τε γράμμασι θανατηφόροις ἑαυτὴν συνεπιδοῦναι, ἀλλ' ἀνάγκη τὸν ἐκεῖνα τὰ γράμματα γράφοντα ἀγχερῶς ἐξολισθαίνειν τῆς χειρὸς τῆς ἀεὶ χορηγούσης ζωήν. ἄνωθέν τι, βασιλεῦ, ἡ πολιτεία τὸ τῆς θειότητος ὄνομα ὑμῖν ἐπεφήμισεν· οὐχ ὅτι πολὺς χρυσὸς ὑμῖν ἐν ἐξουσίᾳ, οὐδ' ὅτι στέφανοι καὶ ἁλουργίδες ἐν περιουσίᾳ, οὐδ' ὅτι πλούσιον ἐκ πένητος παραχρῆμα ποιῆσαι ῥᾳστώνη ὑμῖν· (ταῦτα γὰρ πάντα χθαμαλώτερα τοῦ οὐρανοῦ καὶ τῆς πρὸς ἐκεῖνον εἰκόνος) ἀλλ' ὅτι μόνῳ θεῷ καὶ βασιλεῖ ἐν ἐξουσίᾳ ἐπὶ ζωῆς ἐπιδοῦναι. οὐδεὶς γὰρ ἐν τῇ ἐπικλήσει τοῦ θεοῦ τὸν νικητὴν ἤτοι θριαμβευτὴν ἀνακαλεῖται, ἢ τὸν γερμανικὸν ἢ τὸν σκυθικόν, ἀλλὰ τὸν φιλάνθρωπον καὶ τὸν εὐσεβῆ καὶ τὸν σωτῆρα. ταύτης ἀνθεκτέον σοι τῆς ἀρετῆς, καί σε οὐδέποτε ἐκείνη ἡ χεὶρ ἀφ' ἑαυτῆς ἀποσείσεται. ὡς ἀπεσείσατο Νέρωνα καὶ Δομετιανόν, ὡς τὸν τοῦ Σεβήρου, ἀλλ' οὐ Τραϊανόν γε, οὐδὲ Μάρκον, οὐδὲ Ἀντωνῖνον τοὺς σοὺς πολίτας καὶ ἀρχηγέτας, καὶ ἐξ ὧν πόρρωθεν ἡμῖν ὁ θεὸς τὴν σὴν βασιλείαν ἐφαρμόζεται. τοῦτο ἐγὼ τὸ ἐγκώμιον λαμπρότερον ὑπολαμβάνω τοῦ σκυθικοῦ. καίτοι κἀκεῖνο ἤγειρας μόνος καὶ ἄνευ τῶν ὅπλων· πρὸς τοῦτο δὲ οὐχ ὅπως συνήρατό σοι ὁ σίδηρος, ἀλλὰ καὶ ἠμβλύνθη, οἷον οὐκ ἤγειρεν ὁ Φιλίππου ὁ μέχρις ἰνδῶν διαβὰς ἐκ μακεδονίας. ἀλλὰ Δαρείου μὲν ἐκράτει καὶ Πώρου, τῆς Κλείτου δὲ παροινίας ἡττήθη, καὶ οὐκ ἠμύνατο οἴνῳ τὸν οἶνον, ἀλλὰ σιδήρῳ· οὐδὲ τὴν αὐθάδειαν πρᾴως ἤνεγκε τὴν

φωνῆς ἀκουσθῆναι. καὶ ποτ' ἐγὼ μόνον ᾐσθόμην φωνῆς νικώσης
τῷ τάχει τὴν τῷ Ἡφαίστῳ πελομένην λαμπαδηφορίαν, καὶ δια-
πεμπομένων ἐξ ἄλλων εἰς ἄλλους σταδίους τόσους καὶ τόσους ὥσ-
περ φρυκτωρίας διαπεμπομένην· ὥστε ἀναπεπταμένας τὰς
χεῖρας τὰς τῶν δημίων, μετέωρα ἤδη τὰ ξίφη κατασχεῖν τὴν
φωνὴν τὴν σωτήριον. ταύτην οὖν φαμὲν βελτίω φιλαν-
θρωπίαν, ἣν οὐ προὔλαβον αἱ μάχαιραι ἐπικείμεναι τοῖς
αὐχέσιν. ἀλλ' ὁ μὲν Ζεὺς ὁ παρ' Ὁμήρῳ, καίτοι παιδὸς ὄν-
τος τοῦ Σαρπηδόνος (εἰ δεῖ τι καὶ τῷ Ὁμήρῳ κομψευομένῳ) ὀ-
κνεῖ ἀναλῦσαι τὴν πεπρωμένην· καὶ θελήσας μεταγνῶναι,
παρακληθεὶς ὑπὸ τῆς Ἥρας· βασιλεὺς δὲ ἀνάγκην οὐχ ἧττον
ἀπαραιτήτου δικαστηρίου παραλύει ἀμεταμελήτως. συμ-
ψήφου τῆς ὁμοζύγου οὔσης αὐτῷ, καὶ ἀεὶ βουλευούσης εἰς μίαν,
ἑπομένου δὲ ἀμφοῖν καὶ τοῦ παιδὸς τοῦ ἀγαπητοῦ (ὃν ἐν τοῖς αὐτοῖς
ἤθεσι καὶ ἐκ βρέφους καὶ ἐξασκοῦσιν) ἀμφιθαλοῦς ἀπηχοῦς καὶ
ἀμφιδεξίου. οὕτω γὰρ ἂν μᾶλλον ἐοικὼς ἦ τῶν γεγαμημένων, ᾧ
σεβεῖ τε αὐτῷ καὶ φιλανθρώπῳ εἶναι προσήκει. ἀλλ' ἐκεῖνοι μὲν
οὕτως· ὧν δὲ τὰ ἐγκλήματα πρόσπερα ἦν καὶ τῆς φύσεως μᾶλ-
λον τῶν ὄντων ἢ τῆς προαιρέσεως ἁμαρτήματα, ἆρ' οὔπω
ἐδεήθησαν χρόνου ἢ μακρᾶς γέ τινος μελλήσεως πρὸς τὸ ἀ-
δεῖσαι, ἀλλὰ μὴ παραυτίκα ἐξεκέκυπτο αὐτῶν ὁ φόβος τῆς
διανοίας, καὶ ἀθρόον ἑώρταζον ἑορτὴν, ὥσπερ οἱ μηδεπώπο-
τε ἐγκεκλημένοι, καὶ ἐκ μορφῆς ἀθεραπεύτου καὶ ὑποπεπτω-
κυίας μετεμορφοῦντο εἰς χλιδῶσαν καὶ γέμουσαν πειθοῦς; ταύ-
την ἐγὼ τὴν μεταμόρφωσιν ἠγάσθην ἢ ἣν παρ' Ὁμήρῳ με-
τεμόρφωσεν Ἀθηνᾶ τὸν Ὀδυσσέα, ἐκ ῥικνοῦ καὶ ῥάκια ἠμ-
φιεσμένου μεταβαλοῦσα εἰς εὐείμονα καὶ σφριγῶντα, ἡνίκα
τῷ παιδὶ ἔμελλεν ἀναγνωσθῆναι. ἐπιπόλαιος γὰρ αὕτη τοῦ σώ-
ματος ἡ μεταβολή· σὺ δὲ τὰς ψυχὰς αὐτῶν ἐν τῷ σώματι με-
τεμόρφωσας. καὶ τὴν σὴν ἂν ἔγωγε ῥάβδον οὐχ ἧττον ἂν εἴποιμι

καλὴν καὶ χρυσῆν ἣν τὴν τοῦ Ἑρμοῦ φησὶν Ὅμηρος. ἐγείρει
γὰρ αὕτη οὐκ ἐξ ὕπνου, ἀλλ᾽ ἐκ θανάτου· αὕτη φυλακτή-
ριόν ἐστιν ἀρρηκτότερον τοῦ σιδήρου· αὕτη μᾶλλον διατηρήσει
τὴν σὴν βασιλείαν ἢ πυρκαϊαὶ καὶ φλεβῶν ἐντομαὶ καὶ πε-
λέκεις, ἃς οἱ τυραννικώτατοι Ῥωμαίων περιάγοντες ὁση-
μέραι τοῖς ἀνθρώποις οὐκ ἐπέσχον τὸ μῖσος, ἀλλ᾽ ἐξήγειραν.
οὐ μὴν οἱ σοὶ πρόγονοι καὶ ἀρχηγέται, ἀλλ᾽ αἰδοῖ μᾶλ-
λον ᾤοντο δεῖν καὶ εὐνοίᾳ πλέον ἢ φόβῳ κατέχειν τοὺς ὑπη-
κόους. δυσκαταγωνιστότερον δὲ φυλακτήριον εὔνοια φόβου.
φόβῳ μὲν γὰρ εὐνοίας οὐκ ἴσμεν καταλυθείσας, εὐνοίᾳ δὲ,
δυνάμεις πολλάς. αὐτίκα τοῖς μὲν ἐκ πρᾳότητος εὐδοκί-
μοις τῶν αὐτοκρατόρων ὅσοι μὴ λίαν ὀλίγωροι καὶ ἐκκεχυ-
μένοι, εἴ τις καὶ ἀνέφυ ἐπιβουλή, καὶ αὐτὴ κατεσβέσθη πρὶν
ἐξαφθῆναι· τοῖς δὲ χαλεποῖς ἐκείνοις καὶ ἀνημέροις ἀεὶ τοὺς
ἁλισκομένους ὑποτεμνόμενοι οὐκ ἐπέλιπον οἱ κατισχρῦν-
τες. γελοῖος γὰρ διδάσκαλος ἦν τῆς τυραννικῆς ἀσφα-
λείας ὁ τοὺς ἀστάχυας ἀποτέμνων τοὺς ὑπερέχοντας τοῦ λῃΐου.
οὐ γὰρ τούτους γε αὖ ἀποτέμοι ὥστε μὴ ἑτέρας ἀπολείπεσθαι
ὑψηλοτέρους τῶν ἀτμήτων ἀεὶ μενόντων. τοῦτο γὰρ δὴ τὸ σχε-
τλιώτατον τῆς τῶν τυράννων δειλίας, ὅτι πάντας κτείνοντες
οὐ δεδίασιν, ἄχρι τοῦ μηδένα φοβεῖσθαι περιελθεῖν οὐ δύνα-
ται. οἱ δέ σου καὶ τὴν ἱερὰν εἰσήλυσιν, ὦ βασιλεῦ, ἣν ἐπε-
κέλευσω τοῖς δικασταῖς, παραπέμπων ἐπὶ τὴν κρίσιν. καὶ
πρὸς τὸν εἰπόντα ὅτι περὶ πάντων φροντιστέον ἐστὶ τῆς ἀσφα-
λείας τῶν αὐτοκρατόρων, μᾶλλον μὲν οὖν, ἔφησθα, τῆς ἀγα-
θῆς δόξης. οὐ γὰρ ζωῆς μῆκος διωκτέον τῷ βασιλεῖ, ἀλλ᾽
ὑπεροχὴν ἀρετῆς. ἐπεὶ καὶ Διονύσιος καὶ Τιβέριος ἐγκατε-
γήρων ταῖς μοναρχίαις, ἀλλὰ τί γέρας αὐτῶν οὐδὲν ἄλλο
ἦν ἢ μακροτέρα κακοδοξία. ἀλλ᾽ ὅγε σὺ τῷ φρονεῖν, καὶ περὶ
πλείονος τὴν ἀγαθὴν δόξαν ἢ τὴν σωτηρίαν ποιούμενος.

τί ἄλλο ἢ κακονουστέρους ὑπολαμβάνει τοὺς πρὸς εὔκλειαν αὐτῷ ἐμποδὼν ὄντας τῶν τῷ στόματι ἐπικροτούντων; ἐγὼ οὖν οὐκ ἄν σοι προσάδοιμι ἔτι τοὺς Πλάτωνος λόγους, καὶ μὰ Δία τοὺς Ἀριστοτέλους, οὐδὲ δὴ ἐμαυτοῦ τι ἂν εἴποιμι παράγγελμα ἢ νουθέτημα· ἀλλ' ἣν αὐτὸς ἐγέννησας γνώμην, ταύτην ἀπόχρη σοι μόνην εἰδέναι τε καὶ ἐπισκοπεῖν, πότερον ἐν τῇ πράξει πλέον τὸ καλὸν ἢ τὸ κερδαλέον, καὶ πότερον ἀθολώτως ὁ λόγος ἐξορμεῖται ἐπὶ τὴν πρᾶξιν, ἢ ἐπαχλύεται ὁ λογισμὸς ὑπό τινος πάθους. χαλεπώτατον γὰρ ἐκεῖνο τὸ πάθος ὃ προεκπηδᾷ τοῦ λόγου ἐν ἐξουσίᾳ. καὶ διὰ τοῦτο Πέρσαι καλῶς Κῦρον μὲν πατέρα, Καμβύσην δὲ δεσπότην, Δαρεῖον δὲ κάπηλον ἐπωνόμαζον. ποιεῖ δὲ πατέρα μὲν δικαιοσύνη, θυμὸς δὲ δεσπότην, κάπηλον δὲ φιλοχρηματία. θεία δὲ μόνη ἡ τοῦ πατρὸς ἐπωνυμία· (πατέρα γὰρ ἀνθρώπων καὶ τὸν Δία οἱ ποιηταὶ ἐπονομάζουσι) τῶν δὲ ἄλλων ἡ μὲν, θηριώδης, ἡ δὲ, καὶ ἀνδραποδώδης. φύεται μὲν οὖν καὶ ἐν σμήνεσιν αὐτοφυής τις καὶ αὐτοδίδακτος βασιλεύς· ᾧ περιβομβεῖ καὶ συμπεριπλέκεται ἑκούσιον τὸ σμῆνος καὶ συγχρονῇ· φύεται δὲ καὶ ἐν ἀνθρώποις, ἀλλὰ σπανίως γε τοῦτο καὶ ἐν μακρῷ χρόνῳ, ὅταν ἄμφω συμπέσῃ καὶ συνομολογήσῃ τῷ κάλλει τῆς ψυχῆς καὶ ἡ τοῦ σώματος ἀγλαΐα. καὶ τοιοῦτός ἐστιν ἀτεχνῶς ὁ μέγας βασιλεύς, καὶ οὔτε χωλὸν οὔτε κολοβὸν αὐτοῦ τὸ κάλλος, ἀλλ' ἄρτιον καὶ ὁλόκληρον. ὥστε Ἀλέξανδρος μὲν ἐμακάριζε τὸν Ἀχιλλέα ὅτι Ὁμήρου ἔτυχε κήρυκος· ἐγὼ δὲ ἐμαυτὸν εὐδαίμονα ὑπολαμβάνω, ὅτι σε κηρύττειν ἔλαχον οἱ ἐμοὶ λόγοι. καὶ τοῦτο οὐκ ἄν τις φαίη κολακείαν μᾶλλον ἢ ἀλήθειαν. ὧν γὰρ ἴσμεν αὐτοκρατόρων ἢ ὧν ἀκούομεν, πλὴν δυοῖν τοῖν ἐνδοξοτάτοιν, οὐδεὶς ἂν ἕτερον τὸ αὐτοῦ σοι τρόπου σχῆμα τοιοῦτον μετεχειρίσατο.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΗΣ ΦΙΛΗΚΟΪΑΣ τοῦ βασιλέως. Λόγος ἕκτος.



ΡΑ ὅστις ἀδόκιμος εἶναι ἐσπουδάκει ἐφ' ἱππηλασίᾳ, καὶ τῆς τοῦ Νέστορος ἐφίεται ἐπωνυμίας, (ἣν ἐκείνῳ δίδωσιν Ὅμηρος ἐν τῇ ποιήσει, ἱππότην αὐτὸν καὶ ἱππηλάτην συνεχῶς ἐπονομάζων) τούτῳ οἷόν τε ὀλιγώρως ἔχειν τῆς ἱππικῆς τέχνης, καὶ οὐχ ἅπαντα ἐκπονεῖν ἀκριβῶς ὅσα ἀποδείξει αὐτὸν ἀγαθὸν ἱππέα; οἷον ἀναβαίνειν τὸν ἵππον ῥαδίως, καὶ ἐγκαθίζεσθαι κούφως, καὶ ἀποπηδᾶν ξὺν ῥαστώνῃ, καὶ τὰ χαλινὰ ἐπέχειν τε ἵνα καιρὸς, καὶ αὖθις ἵνα χρὴ, ἀφιέναι, θαρροῦντα μὲν τοῖς λείοις καὶ ἀναπεπταμένοις δαπέδοις, εὐλαβούμενον δὲ τὰ δύσπορα καὶ στενόπορα· ὥς που καὶ παρ' αὐτῷ τῷ Ὁμήρῳ ἀγανακτεῖ πρὸς τὸν Ἀντίλοχον ὁ Μενέλεως ἐν τῷ ἀγῶνι τοῦ ἱππικοῦ δρόμου ὃν ἐπὶ Πατρόκλῳ ἔθηκεν Ἀχιλλεὺς, ὅτι ἐπιθυμίᾳ τῆς νίκης τὸν κίνδυνον οὐ προορῴη, μὴ ἀνέχων τοὺς ἵππους, ἀλλ' ἐπιπαρέρχων ἐν χωρίῳ στενῷ καὶ ἀποκρήμνῳ. εἶεν. ὅστις δὲ ἐπὶ τοξικῇ ἐλλόγιμος εἶναι ἔρωτα ἔχει, πότερον ἐν ἀργῷ τῷ διατρίβει μᾶλλον ἢ ἐν τῷ μελετᾶν συνεχῶς, ὅπως τε ἅμα καὶ ἐπισκόπως πέμπειν τοὺς οἰστούς· καὶ πείθονται αὐτῷ αἱ χεῖρες περὶ τὴν νευρὰν καὶ τὰς γλυφίδας, καὶ τοσαύτη αὐτοῦ ἡ μελέτη καὶ ἡ ἐπιστήμη ὅση καὶ ἡ τοῦ Κρητὸς Μηριόνου. ὥστε καὶ εἰ τῆς πελειάδος ἀποτυγχάνει, τῆς μηρίνθου γε μὴ ἁμαρτεῖν. τὸν δὲ ἐφ' ὁπλομαχίᾳ βουλόμενον ἐπαίνου τυχεῖν τί ἄρα φαίμεν, ὦ Ἀθηναῖοι, παντάπασιν ἀμελοῦντα ὁπλομαχίας, καὶ ἄπειρον μὲν τοῦ ἐπὶ δεξιὰ, ἄπειρον δὲ τοῦ ἐπ' ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην, τοῦτον ἐλπίζειν τὴν εὐφημίαν, καὶ ὀνειροπολεῖν τέχνης ἐπαίνους ἣν οὐκ ἐξήσκησεν;

ἢ οὖν

ἵν' οὖν μὴ καὶ τὸν κυβερνήτην ὑμῖν ἐπάγω, καὶ τὸν ποιμένα, καὶ τὸν ἰατρόν, καὶ ἅπαντας δεικνύοιμι τούτους, ὅταν ἐφίωνται ἐπαίνων τῶν ἐπὶ τέχνῃ, ἐφίεσθαι χρῆναι καὶ τῶν ἔργων τῶν ἐκ τῆς τέχνης, ἐπ' αὐτὸ δὴ ἔρχομαι τὸ κεφάλαιον ὧν προὐθέμην ἆρα εἴποις ὑψοῦ προκαθήμενος, καὶ ἁλουργίδα ἠμφιεσμένος, καὶ ἐπιτροπεύων σχεδόν τι ἅπασαν γῆν τε καὶ θάλασσαν ὅσης τε αὐτὸς προστατεύει καὶ ὅσην ῥύεται, καὶ ὅσην συγχωρεῖ τὴν ὀργήν, διψῇ τοσούτων ἐπαίνων ἀληθινῶν, καὶ οὓς οἶδεν αὐτοῦ σωτηρίας αὐτῷ προσιόντας, τούτῳ ἆρα ἡ γνώμη οὐ τεθάρρηκεν ὑπὸ τῆς ἄνωθεν ψήφου, καὶ ὃ μεταχειρίζεται ἤδη ἐκτὸν ἔτος ἀκέραιός τε καὶ ἄβατος μᾶλλον ὑπὸ φόνου ἢ σιδήρου; ἀναμνήσθητε τοίνυν τοῦ πρώτου συλλόγου καὶ τοῦ μέλους τοῦ Βοιωτίου ἐφ' ᾧ ὁ σύλλογος. οὐ γὰρ ἀπόχρη τῷ ἀνδρὶ τούτῳ εἰπόντι μέλος πεποιημένον τῆς προκειμένης θοίνης ἀπολαύειν, ἀλλ' ἐδυσχέραινε καὶ ἠτιᾶτο ὅτι μὴ εἰσφοιτᾷ ἤδη χρόνοις αὐτῷ ἡ φιλοσοφία, μηδὲ θαμίζει δορυφοροῦσα εἰς τὰ βασίλεια, ὡς πάλαι εἰώθει. Φωκίων μὲν γὰρ ὁ χρηστός, ἐπεὶ δημηγορήσαντι αὐτῷ προθυμότερον συνεπήχησεν ὁ δῆμος Ἀθηναίων, μή τι ἄρα, ἔφη, κακὸν εἰπὼν λέληθα ἐμαυτόν; βασιλεὺς δὲ οὐ λέγουσαν φιλοσοφίαν, ἀλλὰ σιωπῶσαν, ὕποπτον ποιεῖ, καὶ τὴν σιωπὴν αὐτῆς ἀντὶ σημείου λαμβάνει τῆς ἐνδείας τῶν ἔργων. ὅστις οὖν ἐπαίνου αὐτοῦ εἰσιόντος, καὶ τούτου ὑψηλοῦ τε καὶ δι' ὑψηλῶν ὀνομάτων, καὶ ἐξ αὐτοῦ σχεδὸν τοῦ ἥκοντος, περισκοπεῖ τὸν πεζὸν ἐπαινέτην, καὶ λιπαρῶς ἔχει τοῦ ἀκομμώτου ὕμνου καὶ ἀνηδύντου, οὐκ ἔνδηλός ἐστιν ἐπίπροσθεν ἄγων ἀλήθειαν καλλιεπείας; τοῦτο δὲ οὐκ ἂν ἄλλως αὐτῷ συμβαίνοι, εἰ μὴ ἐγκύπτων πρῶτον εἰς ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ἔργα ἐπισκοπῶν, πλοῦτόν τιν' ὁρῴη πράξεων ἀγαθῶν καὶ βασιλικῶν, ἃς οὐκ ὀκνεῖ ᾄδειν ἐπιψηφίζουσα ἡ φιλοσοφία. ἐπίσταται γάρ, ὡς ἔοικε, καὶ τοὺς μὲν ἄλλους λόγους ὅσοι εἰσφοιτῶσιν αὐτῷ παρὰ τῶν ποιητῶν

καὶ τῶν συγγραφέων, ἑτοιμότερον ὡς τὰ πολλὰ ἀποπτιουμένοις τὸ δίκαιον τοῦ ὄντος, καὶ τοῦ ὠφελίμου τὸ κεχαρισμένον. ταῦτά τοι καὶ εἰσιέναι ἐσκευασμένοις πρὸς ἡδονήν, ὥσπερ Ὅμηρος λέγει τὴν Ἥραν εὖ ἐντύνασαν ἑαυτὴν ἀφικέσθαι παρὰ τὸν Δία, ἀμπεχόνῃ τε ἁλουργεῖ καὶ καλύπτρᾳ καὶ ἐλλοβίοις, καὶ ἐπὶ πᾶσι τῷ κεστῷ αὐτῷ τῆς Ἀφροδίτης. οὕτω δὴ καὶ τούτοις τοῖς λόγοις πολλὴν ἐνδύεσθαι τὸν ἔξωθεν κόσμον σχημάτων τε καὶ ὀνομάτων, καὶ τούτων εὖ μὲν ἐπιλελεγμένων καὶ συνηρμοσμένων τῇ γνώμῃ, ἐνδήλοις εἶναι ὅτι οὐ μόνα θαυμάζουσιν ὅσα θαυμαστὰ ἀληθινῶς, ἀλλὰ καὶ ὅσα οἱ πάλαι οἴονται μακαριστὰ εἶναι, δύναμιν καὶ τύχην καὶ ἐξουσίαν. μόνην δὲ δεῖ ἄρα ταύτην τὴν τέχνην ζητεῖν καὶ γινώσκειν, τίς ἀληθινῶς βασιλεύς, καὶ τίνα σημεῖα αὐτοῦ καὶ γνωρίσματα· ὅτι οὐ χρυσὸς ἀετός, οὐδὲ δράκοντες λεπτῶν ὑφασμάτων, οὐδὲ μὰ Δία τοξεύεσθαι ἐπίσκοπα καὶ ἀκοντίζειν (ταῦτα γὰρ οἶμαι καὶ Νέρωνι ὑπῆρχε κιθαρῳδοῦντι, καὶ Δομετιανῷ μελαγχολῶντι) ἀλλ' εἰ ἡ ψυχὴ ἄνω ὁρῶσα πρὸς τὸν τοῦ παντὸς βασιλέα συντεταμένη, καὶ ἀρχομένη ἐκεῖθεν ὅσα οἷόν τε ἀρύεται ἐκ τοῦ οὐρανοῦ τῇ ἐπὶ τῆς γῆς βασιλείᾳ· ὧν καὶ σὺ ὦ χρυσὲ ἀρυόμενος, οὐκ ἐδεήθης τῶν τόξων οὐδὲ τῶν ὅπλων, οὐδὲ ἀρμενίων οὐδὲ ἰβήρων, οὐδὲ τῆς ἵππου τῆς τεθραμμένης, ὥστε τὴν φλόγα σβέσαι τὴν σκυθικήν· ἀλλὰ μόνῃ τῇ σῇ βουλῇ καὶ τῇ σῇ γνώμῃ ὑφ' ἑαυτῆς ἡ φλὸξ ἐκείνη ἀπημαυρώθη. οὐδὲ κάτω σοι νεύει τὰ ὄμματα, οὐδὲ ὁ νοῦς ἐν φροντίδι ἐστὶν ὁπόθεν τὸ χρυσίον ἔσται σοι ἢ τὸ ἀργύριον, ἀλλ' ὁπόθεν σοι πλεονάσουσιν οἱ τῶν ἀγαθῶν πράξεων θησαυροί, οἳ μόνοι ἄσυλοι καὶ ἀνάλωτοι. ταῦτ' οὖν γινώσκων, ὡς ἔοικεν, ὦ σοφώτατε, μόνης ταύτης μαθήματα καὶ διδάγματα τῆς ἐπιστήμης, εἰς πρᾶγμα τίθεσθαι αὐτὴν οὐκ ὀκνεῖς ἐν μέσῳ τε καὶ ἐφ' ἁπάντων τὸ ἔργον ἐφ'

ῳ ἔταξεν ἑαυτὴν, οἷόν τινα ἐτήσιον εἰσφοράν. καὶ οὐκ ἐφίστης μόνῃ τῇ εἰσπράξει ἀρχήν τινα καὶ στρατιώτην, ἀλλ' αὐτὸς κατεπείγεις, καὶ αὐτὸς ἐπαναγκάζεις, καὶ αὐτὸς ἀποδέχεσθαι τὴν εἰσφορὰν ταύτην διανοῇ. τυχὸν δὲ καὶ αὐτὸς εἰσιὼν αὖ καταλάβοις τὸ ταμιεῖον διπλῇ ἔτι μοι προσθήκει ἐπιθησαυροῦσθαι, καὶ ὅτι τὰ παιδικά μοι οὕτως διοικεῖται, ὥστε ἐρᾶν τέχνης δυσχεραινούσης ψευδολογίαν, καὶ ὅτι φιλοσοφία πεπίστευται μόνη ἀξιόπιστος εἶναι καὶ ἐπαινέτης παμβασιλείας. ἀλλ' εὖ τοι γίνωσκε ὦ χρηστὲ ὅτι τὸ αἴτιον τούτου τοῦ ὄκνου τοὐναντίον ἐστὶν οὗ ὑποπτεύεις, οὐ σπάνις νεουργῶν ὑποθέσεων, ἀλλὰ πλῆθος. ἀεὶ γὰρ ἐπιδεικνύμενος πλείω τὰ ἀγαθὰ, καὶ προσυφαίνων ὁσημέραι καὶ ὅσαι ὧραι, οὐκ εὐαγκάλους μοι ἔτι τοὺς λόγους ποιεῖς, οὐδ' ὅσα ἂν τήμερον ὑφήνῃς, μόνον αὖθις ἀναλύεις· ἀλλὰ καταπυκνοῦταί σοι μᾶλλον ἀεὶ τὰ ποικίλματα τῆς ἀρετῆς· καὶ ὁπόταν μοι ἐπὶ νοῦν ἔλθοι πρᾶξίν τινα παρὰ σοῦ πεπραγμένην ἢ καλῶς ῥηθέντα λόγον ἀδεκάστῳ ὕμνῳ ἐπικοσμῆσαι, εὐθὺς ἐπιρρέοντα ἄλλα καὶ ἄλλα πολλὰ τὰ ἐφεξῆς καταχώννυσί τε καὶ ἐπισκιάζει ἐφ' ἃ ὡρμήθην· καὶ αὖθις ὅταν τὰ πρῶτα ἀφεὶς, τὰ δεύτερα μεταχειρίζωμαι, τρίτος τις καὶ τέταρτος ἀριθμὸς ἐπιὼν ἐκθλίβει με ἐπὶ τοῖς προειρημένοις μένειν. πάσχω οὖν ὥσπερ οἱ λίχνοι τῶν δαιτυμόνων, ἀπογεύομαι ἀεὶ τοῦ ἀεὶ παραφερομένου ἁρπάζων, ἐμπίπλαμαι δὲ οὐδενὸς ἱκανῶς· ἢ ὥσπερ μᾶλλον αἱ κύνες αἱ θηρεύτειαι, ἑνὸς μὲν αὐταῖς ἀναφανέντος θηρίου, προσκαρτεροῦσιν ἐκείνῳ καὶ προσλιπαροῦσιν, ἄχρις οὗ ἕλοιεν· εἰ δὲ πολλὰ ἅμα καὶ πολλαχόθεν ὑποκινοίη, ἀεὶ τὸ φανὲν μεταθέουσαι, ἀποφύγαιεν τὰ πρόσθεν ἐῶσι· ἧπου καὶ τὸν Διὸς Ἡρακλέα οὐ νέμεσις τοῖς τότε ὑμνοποιοῖς εἰ ῥᾷον ἐπήνουν ἐναρχόμενον τῶν ἄθλων μᾶλλον ἢ ἐπιδιδόντα. οὕτω δὴ καὶ τὰ σὰ

ὠφείλεις τ' ἔχει. προσαύξεις ἀεὶ τοῖς ἄθλοις τοῖς βασιλικοῖς, καὶ ἐπιδίδως τῷ ἀριθμῷ, καὶ οὐκέτι μοι διαρκὴς ἡ μοῦσα τῷ δρόμῳ τῶν ἔργων ἁμιλλωμένη. οὐ γὰρ ὑπόπτεροι αὐτῆς οἱ λόγοι, οὐδὲ κοῦφοι καὶ ὑπηνέμιοι, ἀλλὰ σχολαῖοί τε καὶ βραδεῖς, καὶ περιαθροῦντες ἕκαστον τῶν πραττομένων, οὐ μόνον ὅ,τι ἐπράχθη, ἀλλὰ καὶ διὰ τῆς γνώμης, καὶ ἡνίκα, καὶ πρὸς ὅντινα, καὶ ὑπὲρ ὅτου. πολλάκις γὰρ τὸ μὲν ἔργον οὐ λίαν μέγα, ἡ γνώμη δὲ μεγάλη καὶ ἀξιέπαινος· οἷά που καὶ ἡ πρότην ἐγκράτειά τε καὶ ὁρμὴ ἐπὶ τὸν ῥῆνον, ἔργον μὲν αὐτῇ οὐκ ἠκολούθησεν ἐμφανὲς τοῖς πολλοῖς, ἡ διάνοια δὲ ἡ ὑπερήφανος καὶ βασιλικὴ τιμωρῆσαι τῷ ἀρχηγέτῃ πρὸ ὥρας ἀνηρπασμένῳ, καὶ τὸ λείψανον ἐκείνης περισῶσαι τῆς γενεᾶς. καὶ ὅτῳ τοῦτο μικρὸν δοκεῖ, ἐνθυμηθήτω ὅτι μόνη ἡ γνώμη καὶ ὁρμὴ καὶ ἡ ἐπιβολὴ τῶν τόλμαν ἔστησε τῆς ἑσπέρας ἤδη, ὥσπερ ὁ Ἀχιλλεὺς, ἡνίκα ἀπόμαχος ἦν, οὔπω τῶν ὅπλων αὐτῷ ἐκ τοῦ οὐρανοῦ κεκομισμένων, ἀλαλάξας τε μόνον καὶ ἐκβοήσας καὶ ἐξαλόμενος τῆς σκηνῆς, ἔσβεσεν ἀναπτομένην ἤδη τὴν φλόγα τοῦ ναυστάθμου τοῦ ἑλληνικοῦ, καὶ τοὺς τρῶας κατεπλήξατο τῆς αὐθαδείας. ταῦτα οὖν μοι ἐπὶ ἕκαστον ἐπισκοποῦντι ἅμα ἐμαχεῖσθαι ἀνάγκη τῇ πινακίδι καὶ τῷ σιδήρῳ. ἐπεὶ καὶ ὅτι τῶν εἰσφορῶν ἐπεκούφισας ἄχθος. ἐνταῦθα οὖν πάλιν ἐμοί τε τοσοῦτο θαυμαστότερον τὸ ὁπότε· ἡνίκα ἂν αὔξησιν ἐδεδίειμεν καὶ ἐπιθήκην, σταθμώμενοι ἀεὶ τῇ δαπάνῃ ἐπιδιδούσῃ, τότε ἀφελὼν τῶν φορτίων τῆς χάριτος, μεῖζον ἐποίησας τὸ παρ' ἐλπίδα. ἀμέλει πῶς μὲν ξὺν ἀπειλῇ καὶ ξὺν ἀνάγκῃ ξυνεφοίτα ἡμῖν ἡ σιτοπομπία· νῦν δὲ θᾶττον πτεροῦ καὶ νοήματος ἑκούσιος καὶ αὐτοκέλευστος ἀφικνεῖται. ὑπηρετεῖ καὶ ἡ θάλαττα τῇ τοῦ βασιλέως ὁρμῇ, καὶ ὁ χειμέριος πλοῦς τοῦ θερινοῦ ἀκυμότερος ταῖς ὁλκάσιν. οὐκοῦν αἱ σιτοθῆκαι μεσταὶ ἀράχνης καὶ ἀραχνίων, ἀλλ' ὑπερχειλεῖς καὶ ὑπέραντλοι, καὶ ἐπαινήκει ἡμῖν τὸ

θάρσος ὃ πάλαι ἐπιλελοίπει, καὶ γὰρ μείζους ἤδη αἱ ἐλπίδες ὑπὲρ τῆς ἐξ ἦρος εὐετηρίας. ὥστε οὐδὲ ἀπαξιοῖ βασιλεὺς αὐτόπτης γίνεσθαι τούτων τῶν θησαυρῶν, ἀλλὰ τὰ μὲν τοῦ χρυσοῦ ταμιεῖα ἑτέροις φύλαξιν ἐπιτρέπει, τὰ σιτοφυλάκια δὲ οὐκ ὀκνεῖ οὐδὲ ἔλαττον ἑαυτοῦ ποιεῖται αὐτὸς περινοστεῖν. Κροῖσος δὲ ὁ Λυδῶν δυνάστης ᾤετο βασιλικώτερος εἶναι χρυσοῦ μᾶλλον ἔμπλεα τὰ ταμιεῖα ἢ σίτου ἐπιδεικνύναι. ὥστε καὶ πρὸς Σόλωνα τὸν Ἀθηναῖον οὐ πυρῶν σωροῖς, ἀλλὰ χρυσοῦ ψήγμασιν ἐκαλλωπίζετο, οἷς οὐχ ἡ γῆ αὐτῷ ἐδορυφόρει, ἀλλ' ὁ ποταμὸς ἀλαζών, πλοῦτον ἄκαρπον καὶ ἄβλαστον, καὶ οἱ ἀπορουντές τι λιμῷ ἀπολεῖσθαι, ὥσπερ ἐκεῖνος ὠνητὸς τῆς ἀρχῆς, ἐν ἀφθονίᾳ χρυσοῦ τροφῆς ἐνδεὴς τελευτήσας. τοιγάρτοι Κροῖσον μὲν οὐκ ἀπέφηνεν ὁ Σόλων ὀλβιώτατον τῶν τότε ἀνθρώπων, ἀλλὰ τὸν Ἀθηναῖον καὶ τοὺς Ἀργείους νεανίσκους, καὶ ἅπαντα μᾶλλον ἢ Κροῖσον. βασιλέα δ' ἂν ἀπέφηνεν ὀλβιώτατόν τε καὶ εὐδαιμονέστατον, ᾧ πλοῦτος τοσοῦτον βόσκει στρατὸν ὅσον οὔποτε ἡ Ῥωμαίων ἡγεμονία, χωρὶς μὲν ἐπὶ τῷ πηγῆτι, βόσκει δὲ τὸ μέγα τοῦτο ἄστυ καὶ τὸν πολὺν δῆμον· καὶ οὐ μόνον βόσκει, ἀλλὰ καὶ ἐκλείπει τὸ ἐνδεῆσαι ὑπὸ τῆς πάλαι ῥᾳδιουργίας· καὶ οὐκ ἐκτείνει μόνον, ἀλλὰ καὶ ἐπαύξει τὸ σιτηρέσιον, ὅτι ἀγαπητὸν ἦν μὴ ἐλαττῶσαι. οὐκοῦν δεῖ ἡμῖν ξενηλασίας συνεχοῦς, καθάπερ τῇ μικροπόλει, φαρμάκου τῆς ἐνδείας χαλεπωτέρου· ἀλλ' ἐπιρρέουσιν ἀκωλύτερον σὺν τῇ τῶν πολλῶν περιουσίᾳ οἱ χρησόμενοι αὐτοῖς ἐπ' ἐξουσίας. τοσοῦτον μὲν δὴ τῶν ἔργων τοῦ βασιλέως τὸ ὑπὲρ ὅπου καὶ τὸ ὁπότε, τό, τι δὴ ὑψηλόνουν καὶ τελεσιουργὸν καὶ μεγαλεῖον, ζητεῖτε ἄρα παρὰ τοῦ λόγου· καὶ οὐκ ἐμπελάζει ὑμῶν τοῖς ὀφθαλμοῖς, οὐδὲ τοῦ ἄστεος τὸν κύκλον ὁρᾶτε ἐξ ἡμιδεοῦς γινόμενον ἤδη ἀφερέστου ἡδονῆς, καὶ οὐ τὰ κενὰ τοῦ περιβόλου κρείττονα τῶν συνοικουμένων, οὐδὲ γεωργούμενα εἴσω


τείχους μείζονα χῶρον ἢ κατοικούμενον, οὐδὲ ὅρειον τὸ κάλ-
λος τῆς πόλεως καὶ διεσπασμένον· ἀλλ' ἐμπέπλησται ἅπας καὶ
ἐξύφανται, οἷον πέπλος ἄχρι τῶν θυσάνων πεποικιλμένος χρυ-
σῷ καὶ πορφύρᾳ, αὐλῇ τε βασιλέως ἐπωνύμῳ, καὶ λυτροῖς
δὴ καὶ στοαῖς καὶ ἡβητηρίοις, καὶ τὸ κράσπεδον πάλαι τῆς
πόλεως, νῦν ὀμφαλός. ὦ πάτερ, ὦ εὔδαιμον Κωνσταντῖνε, ἆ-
ρα αἰσθάνῃ ὅτι τὴν πόλιν ὁ βασιλεὺς αὐτὴ λαγαρᾶς καὶ
ὑποσόμφου μεστὴν ἐποίησεν ἀγλαΐας, καὶ τὸ κάλλος αὐτῆς
ἤδη ἀληθινόν, καὶ οὐκέτι σκιαγραφία. καὶ δὴ οὐ τὰ μὲν κοι-
νὰ ἐπιδίδωσι, τὰ δὲ ἴδια ἀπολιθαίνει, ἀλλ' αὔξεται ὥσ-
περ ζῶον ἅμα ἡ πόλις, καὶ μιᾶς ὥσπερ ἅπαντας κατεχού-
σης ὥσπερ ἐπιπνοίας ἐκ τοῦ ζήλου τοῦ βασιλικοῦ καὶ ἄρχον-
τας καὶ ἰδιώτας, ὃς μὲν περίδρομον ἐγχείρει, ὃς δὲ θάλαμον,
ὃς δὲ ἀνδρῶνα, ὃς δὲ ἑπτάκλινον ἢ ἐννεάκλινον οἶκον, τῷ δὲ
καλλωπίζεται ἡ τύχη καὶ τὰ ἐδάφη λίθῳ λακαίνῃ καὶ λιβύσ-
σῃ καὶ αἰγυπτίᾳ· καὶ δείκνυσιν ἀπειρόκαλον τὸν Μενέλεων,
χαλκῷ τοὺς τοίχους τῆς οἰκίας ἐπαλείψαντα καὶ ἀργύρῳ·
ἀπολαύει δὲ καὶ τὰ προάστεια τῆς περὶ τὸ ἄστυ φιλοτιμίας,
χέρσῳ τε θαλάττης ἐπιούσης, καὶ θεάτρων ἁμίλλης, νεῶν
πορθμείων χρεὶ δασσόντων. μεστὴ δὲ ἡ πόλις τεκτόνων καὶ οἰκο-
δόμων καὶ ποικιλλόντων καὶ παντοδαπῆς δημιουργίας, καὶ εἴ-
ποις ἂν αὐτὴν ἐργαστήριον μεγαλοπρεπείας. ὥστε εἰ κατὰ
λόγον ὁ ἔρως ἐπιδιδοίη τῷ βασιλεῖ, εἰς νέωτα ἡμῖν ἑτέρου
κύκλου δεήσει, καὶ ἀμφισβητήσιμον ἤδη ἔσται τίς μείζων καὶ
ἀειπρεπεστέρα ταῖν πολέοιν, ἣν Θεοδόσιος προσύφηνε τῇ
Κωνσταντίνου, ἢ ἣν Κωνσταντῖνος τῇ Βύζαντος. ἐγώ τοι καὶ αὐ-
τός, ὦ μακάριοι, εἴπερ ἐπόμενόν μοι ἤδη τὸ σῶμα ἦν, βου-
λοίμην ἂν ἐξικέσθαι ἐπὶ μακρότερον χρόνον, ὑπ' ἄλλης ἕνε-
κεν ἡδονῆς· (πᾶσαι γάρ μοι ἐκλέλυνται), καλῶς ποιοῦσαι) ἀλλ'
ὅπως ἂν γενοίμην καὶ τρίτης πόλεως θεατής, ἣν προσοικο-

δημήσει οὐκ εἰς μακρὰν ὁ ἀρχηγέτης. καὶ οὐκ ἔξω μοι ἐλπίδος ἐστὶν αὕτη ἡ προθυμία. οὕτω γάρ μοι ἀλεξίκακος βασιλεὺς καὶ πρὸς τὴν τοῦ σώματος ἀδυναμίαν, ὥστε, εὖ ἴστε ὦ φίλοι, ὅτι καὶ νῦν με ἐπικελεύσας τὴν μουσικὴν αὖθις ἀναλαμβάνειν, μᾶλλον ἐπήρκεσε τῶν Ἱπποκράτους φαρμάκων. καὶ βαδίζω ῥωμαλεώτερον ἢ πρὸ τοῦ, καὶ φθέγγομαι ἐξάκουστα μᾶλλον, καὶ οὐκ ἀποκέκλεισταί μοι τὰ σιτία οὐδὲ τὰ πόματα, ἀλλὰ τῇ τῆς ψυχῆς φιλεργίᾳ καὶ τὸ σῶμα συνανηβᾷ καὶ συνανακύπτει, καὶ τὸ γῆρας συναποξύεται. ὥστε οὐκ ἂν θαυμάσαιμι εἰ οὕτως ἔχων μὴ ὑστάτην ὑμῖν ταύτην ᾄσαιμι τὴν ᾠδήν, (ὥσπερ οἱ κύκνοι ᾄδουσι πρὸ τοῦ θανάτου εἰς τὸν θεὸν οὗ εἰσὶ πρόπολοι καὶ ὑποφῆται) ἀλλ' ἐπιδαψιλεύσεταί μοι ὁ μουσηγέτης καὶ ἀμείνονος καιρὸν μελῳδίας. τὰ μὲν γὰρ φάρμακα τῆς Κολχίδος ἐξηπάτησαν τὰς Πελειάδας, ὑποσχομένης τὸν πατέρα αὐταῖς ἀντὶ πρεσβύτου νέον ποιήσειν· βασιλεὺς δὲ εἰς ἀληθινήν με ἀκμὴν ἐπανάγει, οὐ τοσοῦτον οἷς ἐγείρει οἰκοδομήμασιν, ἀλλ' ὅτι αὐτὸς αὔξει ἀεί, καὶ ὅτι αὐτὸς ἐπιδίδωσι, καὶ ὅτι αὐτὸς γίνεται μείζων καὶ φιληκοώτερος καὶ φιλομαθέστερος· διὰ τοῦτό μοι ἐξεγείρει τὸν νοῦν, καὶ διεγκαλεῖ, καὶ ἐρεθίζει, καὶ οὐκ ἐᾷ καταφέρεσθαι εἰς ὕπνον καὶ χάσμην ὑπ' ἀργίας, ἀλλ' ἀπαυδῶντα καὶ παρειμένον, οἷόν τινα ἀδόκιμον πάλαι στρατιώτην, ἀνακαλεῖται, καὶ ἀναζώννυσιν ἐπὶ τοὺς λόγους, παρέχων καλὰς ἀφορμάς, καὶ τῇ τέχνῃ διδοὺς χορηγίαν. οὐκ ἄρα ἐγὼ σπουδαρχιῶν ὑπέσχον τὼ χεῖρε τῇ πολυαρχίᾳ, ἀλλὰ σφοδρὸν ἔρωτα ἐρασθεὶς τὰ αὐτὰ ἀποφῆναι φρονοῦντα τὸν βασιλέα Πλάτωνι τῷ θεσπεσίῳ ὑπὸ τῆς ἀνθρωπίνης εὐδαιμονίας. καὶ ὅτι μὲν οὐκ ἐλήλεγκται οὔτε βασιλέως ἡ ψῆφος, οὔτε ὁ Πλάτωνος λόγος, ἄλλου ἂν εἴη λέγειν, καὶ οὐκ ἐμόν· ἐγὼ μέντοι οὐκ ἐπ' ἐκείνῃ τῇ δέλτῳ, ἀλλ' ἐπ' ἄλλῃ μείζονι καὶ τελεωτέρᾳ, ἣ καὶ

ταῖς δὲ ἐλπίσιν ἐκείνας ἤδη ἔχει ἐπ' ἐξουσίας· ὃν οὐκ ἐποίησαν ἐλεφαντουργοὶ οὐδὲ χρυσοχόοι, ἀλλὰ ποίημά ἐστιν αὐτοῦ βασιλέως, μᾶλλον δὲ γέννημα ἱερὸν ἐξ ἱερῶν ὠδίνων τέλεον εὐθὺς καὶ ὁλόκληρον, ὁ ἀγαπητός, ὁ πολύευκτος, ὁ σεβαστὸς ἐκ τοῦ λίκνου καὶ τῶν σπαργάνων, οὗ τὸ μὲν σῶμα ἐν αὔξῃ ἐστίν, ἡ τιμὴ δὲ οὐκ ἔχει ὅποι προσθήσεται. ὅν μοι εἰς χεῖρας ἔθηκεν ἡνίκα ἐλαύνειν ὥρμητο ἐπὶ τὴν ἑσπέραν, ἐπ' ὄψει μὲν τοῦ δήμου, ἐπ' ὄψει δὲ τῆς γερουσίας. καὶ παρηγγύα ἐπιμελεῖσθαι καὶ θεραπεύειν, οὔτε ἀσπίδα νωμᾶν δυναμένῳ, οὔτε δόρυ πάλλειν, ἀλλ' οὐδὲ τόξων εὖ εἰδότι, οὐδὲ σφενδόνης, ἀλλὰ τριβώνιον περικειμένῳ, καὶ ἐγκεκυφότι ὑπὸ γήρως καὶ ἀσθενείας. ἀλλ', ὡς ἔοικεν, ἀνὴρ οὐ τὴν αὐτὴν ἀνήκειν ἡγεῖται παιδείαν βασιλεῖ, προσήκειν καὶ ἰδιώτῃ, οὐδὲ ταυτὰ παιδεύματα ἁρμόττειν τῷ ἄρξοντι γῆς τε θαλάττης καὶ τῷ ταξιαρχήσοντι. δεῦρ' ἴθι οὖν ὦ φίλε παῖ, ἐπὶ τῶν ἐμῶν καθίζου γονάτων, ὅπως ἄν σε ἐκείνων γεύσαιμι τῶν παιδευμάτων καὶ ἀναθρέψαιμι, οὐχ ὥσπερ ὁ Φοῖνιξ τὸν Ἀχιλλέα, σῖτα καὶ ὄψα ἐπάγων, ἀλλὰ τροφεῖα παρέχων ἃ μόνοις σκευάζει φιλοσοφία τοῖς νέοις βασιλεῦσιν, καὶ ἔσω τῆς αὐτοκράτορος ἡλικίας, λόγους ἐγκάρπους καὶ ὑψηλοὺς καὶ ὠφελίμους, καὶ παλαιῶν κλέα αὐτοκρατόρων, οἷς Κῦρος ὁ μέγας ἐτράφη, καὶ Νουμᾶς ὁ Ῥωμαῖος, καὶ Μάρκος ὁ κλεινός, καὶ Τίτος ὁ γενναῖος, οὗ τὸ λαμπρὸν καὶ μέγα ἐκεῖνο ῥῆμα, ὅτι τήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ εὖ ἐποίησα. συμπαιδαγωγήσουσι δέ σε καὶ Πλάτων ὁ κλεινὸς καὶ ὁ θεσπέσιος Ἀριστοτέλης, οἳ καὶ τὸν μέγαν Ἀλέξανδρον ἐπαιδαγώγουν· καὶ ἐξ ἀδόξου χωρίου κύριον ἐποίησαν ὅλης τῆς γῆς. ἐὰν οὗτοί σε ἐκθρέψωνται καὶ τιθηνήσωνται, ἐπώνυμε τοῦ λογίου θεοῦ, ταχέως ἔσται ἐπιτε-
« λὴς ἡ τῶν σῶν γονέων εὐχή. Πατρὸς δ' ὅγε πολλὸν ἀρείων. ἦ,
« εἴγε μετεωροτέρα καὶ δυνατωτέρα, πατρὸς δ' εἰς ἴχνια βαί-

νοι. καὶ τότε σοι ἐπιχαιρήσει ἡ μήτηρ οὐ μόνον ἐκ πολέμου ἐπανιόντι μετὰ σκύλων, ἀλλὰ καὶ δημηγοροῦντι καὶ θεμιστεύοντι, καὶ τὴν δίκην πάρεδρον ποιουμένῳ, ἧς πέρι τῇ αὐτῇ ἐμπίπλησι τὰ βασίλεια.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΝΙκομηδεῦσιν εἰς φιλοσοφίαν. Λόγος ἕβδομος.



ΑΛΛΑ καὶ Προδίκου ποτὲ καὶ Γοργίου διατριβόντων Ἀθήνησι, προσεῖχόν τινες οὐ φαύλως καὶ Σωκράτει τῷ Σωφρονίσκου. καίτοι Πρόδικος μὲν καὶ Γοργίας πολυτελεῖς τε ἐπιδείκνυντο καὶ γέμοντας ἡδονῆς λόγους, ὥστε καὶ μισθὸν εἰσεπράττοντο τοὺς ἀκροωμένους· Σωκράτης δὲ οὐδὲν ποικίλον οὐδὲ σοφὸν, ἀλλὰ ἁπλᾶ τινα καὶ συνήθη καὶ ὅπως ἔτυχε διεξῄει. καὶ ἡδέως ἂν καὶ ἀργύριον ἔδωκεν, εἴ τις αὐτῷ προσέχειν ἐβούλετο. μὴ οὖν δὴ καὶ ὑμεῖς ὑπερίδοιτε τοῦ ξενίζειν ἐπιχειροῦντος οὐ λίαν κεχαρισμένοις ξενίοις, οὐδὲ γοητεύειν δυναμένοις τὰς ἀκοὰς, οἵων θαμὰ ἀπολαύετε συλλεγόμενοι, καὶ τοὺς ἑστιάτορας ἀγαπᾶτε, ὅτι δὴ δεξιοὶ καὶ φιλάνθρωποι καὶ οὐ σμικρολόγοι τὴν παρασκευὴν ἀλλὰ συρακουσίαν ἀεὶ τράπεζαν ἢ σικελικήν τινα προτιθέντες, πολλὰς καὶ ποικίλας ἡδονὰς ὑμῖν μηχανῶνται. καὶ οἱ μέν τινες ἐπιχώριοι ᾄδοντες μέλος, οἱ δὲ ἀσύριον καὶ ἐκ Λιβάνου, κηλοῦσιν ὑμᾶς τῇ τε οἴκοθεν ἁρμονίᾳ καὶ τῇ θύραθεν. εἰ μὲν δή τι καὶ παρ' ἡμῶν τοιοῦτο προσδοκῶντες συνεληλύθατε, ὥρα ὑμῖν ἀπιέναι, μηδὲ ἐνοχλεῖσθαι μάτην· εἰ δὲ δή ποτε καὶ Λυκοῦργον ἑστιάτορα ὑπομεῖναι δυνήσεσθε, τάχα ἂν ὑμᾶς ὑποδεξώμεθα οὐχ οὕτω μὲν πολυτελέσι ξενίοις, ὑγιεινοτέροις δὲ ἴσως, ἃ μὴ θαυμάσαι μόνον ἐστὶν, ἀλλὰ καὶ ὄνασθαί τι θαυμάσαντας. εἰσὶ μὲν γὰρ καὶ οἱ παρ' ὑμῶν λόγοι μνημοσύνης τε

καὶ Διὸς ἔκγονοι, καθάπερ οἱ κομψοί τε ἐκεῖνοι καὶ φιλοπαίγμονες. πάμπολυ δὲ διαφέρουσι τῶν ἀδελφῶν· καὶ τὴν διαφορὰν εἰ βούλεσθε ἀκούειν, ἔχοιμ' ἂν λέγειν. ἀλλ' ὅπως μή με ἀδολέσχην καὶ περιττολόγον νομίσητε, καὶ ἀποπλανώμενον εἰκῇ τῶν προκειμένων. καὶ γὰρ δὴ καὶ τοῦτο τοῖς ἡμετέροις πρόσεστι λόγοις· ἐλεύθεροι σφόδρα εἰσὶ καὶ αὐτόνομοι, καὶ ἔξεστιν αὐτοῖς ἐκ τοῦ παντὸς μὴ μίαν τινὰ ὁδὸν ἠναγκασμένην βαδίζειν, ἀλλ' ἐὰν αὐτοῖς ἑτέρα τῆς προκειμένης μᾶλλον ἀρέσῃ, μεταβαίνουσιν ἀδεῶς, καὶ οὐ πλανῶνται. τὴν δ' ἂν μάλιστα διαφορὰν ὧδε ῥᾳδίως ἂν μάθοιτε. πάντα ὅσα ἐπίκηρα καὶ τῆς ἀθανάτου φύσεως μέτοχα, δυοῖν μάλιστα τούτοιν ἴσμεν δεόμενα, ἀναπαύλης τε τῶν ξυνεχῶν πόνων, καὶ αὖ ἐπιμελείας, εἰς τὸ μὴ χείρω γίνεσθαι. καὶ ψυχὴν τοίνυν οὕτως οἰηθῶμεν τῶν μὲν τινῶν ἀναπαυόντων λόγων, τῶν δὲ τινῶν ἐπιμελουμένων προσδεῖσθαι. διὰ τοῦτο οἱ μὲν ὅταν παρέλθωσιν εἰς τὸ τῶν Μουσῶν θέατρον, (ποιοῦσι δὲ τοῦτο συνεχῶς καὶ πολλάκις) προσμειδιῶσί τε ὑμᾶς καὶ περισαίνουσι, καὶ περιχυθέντες ἀσπάζονται τὸν κορυφαῖον τοῦ θεάτρου· οἱ δὲ τὰ μὲν πολλὰ οἰκουροῦσι, καὶ ἰδίᾳ βούλονται τὰς ἐπιμελείας ποιεῖσθαι· ἢν δέ ποτε καὶ πρὸς δῆμον αὐτοὺς ὁ θεὸς κινήσῃ, αὐστηροί τε εἰσὶ καὶ οὐχ ἡδεῖς ἀδεῶς, καὶ τοσοῦτόν ἀπέχουσι τοῦ θωπεύειν ὥστε καὶ πολλάκις ἐπιπλήσσουσι τοῖς θεαταῖς, ὅταν τι πλημμελὲς αὐτοῖς συγγινώσκωσιν. ἀλλ' ἡμῖν γε, ἅτε πρὸς ἄνδρας φιλοσόφους ποιουμένοις τοὺς λόγους, καὶ τὰ πολλὰ ὑγιαίνοντας, τοὺς σοφωτέρους μιμητέον τῶν ἰατρῶν, οἳ τὰ πικρότερα τῶν φαρμάκων μέλιτι τὴν κύλικα περιχρίσαντες πίνειν διδόασι. τάχα δ' ἂν καὶ ὑμεῖς ἑαυτοὺς πειθηνίους μᾶλλον παράσχοιτε μεθ' ἡδονῆς θεραπεύοντι τῷ λόγῳ, καθάπερ ἡνιόχῳ δεξιῷ τὴν τέχνην ἐξ ἡνίας ἄγειν ἐπιχειροῦντι τὸ ἅρμα, κέντρου δὲ φειδομένῳ καὶ μάστι-

γεν. τί ἂν οὖν λέγοντες ἅμα τε ὠφελοῖμεν ὑμᾶς καὶ ἀρέσκοιμεν; πολλὴ γάρ μοι ἀνάγκη τὸν τοιόνδε τρόπον τῆς πρὸς ὑμᾶς ὁμιλίας θηρᾶν. αἰτία δὲ τῆς ἀνάγκης ἥδε· ἐμὲ θεὸς ὁ τῇδε τῇ πόλει προσθεῖναι βουληθεὶς, καὶ τὸν ἔρωτά μοι τὸν καλὸν τοῦτον κινήσας, οὔτε μένειν ἀξύμβολον ὑμῖν ἡσυχῇ ξυγχωρεῖ τὰ αὐτοῦ πράττοντα, καθάπερ τοὺς πολλοὺς ὑμῶν ἐραστάς· οὔτι μὴν πικροτέροις φαρμάκοις ἐᾷ κεχρῆσθαι πρὸς τὴν βοήθειαν, μὴ λάθω μέντοι τῆς θεραπείας δι' ἀηδίαν ὑπὸ τῶν ἐρωμένων ἀποστραθέντες. καὶ γὰρ εἰ μὲν μόνος ὑμῶν ἑάλων ἐγὼ, κἂν ὑπῆρχεν αὖ μοι μετ' ἐξουσίας τοῖς παιδικοῖς ἐναβρύνεσθαι, προσῄμην ἀντεραστοῦ μὴ δεδιότα· νῦν δὲ ὁρᾶτε γὰρ ἤδη καὶ ἑτέρους ὁμοίως κεκινημένους, καί μοι τὸ σφόδρα αὐτῶν ἐπιδέξιόν τε καὶ εὔχαρι οἰχήσεσθαι ἄγον ὑμᾶς δοκεῖ, ὥστε ἡμῶν δὴ τῶν σεμνοτέρων ὑπερορᾶν. διόπερ ἀναγκάζομαι πρὸς ὑμᾶς ἐξειπεῖν ἃ πάλαι κατέχειν ἐδόκουν ἐν ἐμαυτῷ. οὐκ ἔστι χαρίτων ἔρημος ἡ φιλοσοφίας αὐλὴ, οὐδὲ ἀποκλῄουσιν αἱ θεαὶ πόρρω που τῶν ἡμετέρων μουσείων, οὐδ' ἂν στήσαιμεν ποτὲ ὑμῖν χορὸν ἀμοιροῦντα σώφρονος ἡδονῆς· ἀλλὰ τὴν Ἀφροδίτην ἀεὶ συμπλέκειν ταῖς μούσαις προθυμησόμεθα. ἀδελφαὶ γὰρ ἀλλήλων, καὶ ἀσπάζονται τὴν κοινωνίαν. ὡς δ' ἂν ὅτι καὶ οὐκ ἀδύνατος ἡμῖν ἡ ἁρμονία τῶν θεῶν τούτων εἰδείητε, ἐθέλω τι βραχὺ πρὸς ὑμᾶς τῶν τέως κεκρυμμένων ὁμολογῆσαι λόγων. διττὸν ἡμῖν ἐνοικεῖ γένος, ὦ φίλοι, διτταὶ δὲ αὐτοῖς καταγωγαί· καὶ διενείμαντο τὰ τῆς ψυχῆς οἰκητήρια. τιθηνοῦνται δέ μοι τοὺς μὲν ῥητορική, τοὺς δὲ ἡ πάγκαλος φιλοσοφία. εἰ δὲ ὑμῖν καὶ τὰς μητέρας τῶν λόγων εἰδέναι πόθος, καὶ οἵα τις ἑκατέρα τὴν φύσιν γινώσκειν, ἀκούοιτε ἂν τῶν παίδων, ὅσα πολλάκις ἐν εἰκόσι παίζοντες ἑκάστην αὐτῶν ὑπογράφουσι τῶν εἰκότων. φιλοσοφία μὲν δὴ καὶ σχῆμα σεμνὸν, καὶ σῶμα

ἀμεγέθης, καὶ στολὴ πρέπουσα, ἐν οἵᾳ δὴ καὶ τὰς ἀρετὰς οἱ γραφεῖς τὰς φιλοσοφίας συντόμους δεικνύντες γράφουσι. πλόκαμοί τε οὔτε ἄφετοι μεθίενται πλανᾶσθαι, οὔτε ἐκ ποικιλίας κομμωτικῆς ἀναπλέκονται· ἀλλὰ μέσον τινὰ ἔχουσι κόσμον ἀταξίας τε καὶ τρυφῆς. φιλοσοφία γάρ τοι κατὰ φύσιν κάλλος ἀφελέστερον ἔχουσα, πᾶν ὅ,τι περ ἂν ἐπείσακτον ἀτιμάζει τε καὶ οὐ προσίεται. οὐκοῦν οὐδὲ ὑπογράφει τὰ ὄμματα, οὐδὲ τεχνητὸν ἔρευθος αὐτῇ τὰς παρειὰς χρώννυσιν· ἀλλὰ καὶ ἐπανθεῖ μὲν ἐρύθημα τῷ προσώπῳ σωφροσύνης πλῆρες, βλέμμα τε αἰδοῦς γέμει, καὶ οἷον τὴν αἰδῶ καὶ τοῖς προσβλέπουσιν ἐνδιδόναι. ἤδη γοῦν τισὶ καὶ θέα ψιλὴ τῆς θεοῦ ταύτης ἤρκεσεν εἰς κοσμιότητα τὸν βίον μεταρρυθμίσαι. καὶ ὅ γε Πολέμων ἀττικός; ὁ κώμοις τε καὶ αὐλοῖς καὶ μέθαις πολλὰ πρότερον ἐντρυφήσας, ὅτε τὴν Ξενοκράτους σύνοικον φιλοσοφίαν προσέβλεψεν, αὐλοὶ μὲν ἐκεῖνοι φροῦδοι, καὶ κῶμοι καὶ ἔρως ὁ πάνδημος τῆς Πολέμωνος ἐκπεσόντες ψυχῆς ἠμελήθησαν· ὁ δὲ ἔρωτα τὸν καθαρώτατον τῆς φιλοσοφίας ἀναλαβὼν, εἰς τοσοῦτον τῷ πόθῳ προὔκοψεν, ὥστε καὶ τελεταῖς τῆς θεοῦ ἐμυηθῆναι. ῥητορικῆς δὲ (πάντως γάρ που καὶ ταύτης τὴν εἰκόνα ποθεῖτε) γυναικεία μέν τις καὶ αὐτὴ καὶ παγκάλη· ἀτὰρ οὐ τῇ φύσει μόνον ἀρκεῖται, πολλάκις δὲ θέλει καὶ τοῖς ἔξωθεν καλλωπίζεσθαι. καὶ αὐτῇ πέπλος μὲν ποικίλος κόσμος τὸ σῶμα σκέπει, ἀγάλλεται δὲ καὶ θεάτροις ἑλληνικοῖς, καὶ τοὺς παῖδας ἐκ νεαρᾶς ἡλικίας εἰς δημοσίας παρόδους ἐθίζει. οἱ δὲ οὕτως εἰσὶ τῆς μητρὸς γνήσιοι καὶ χορείας ἐρῶντες, ὥστε πολλάκις καὶ τὰς μητέρας συμπείσαντες, καὶ ἀναμιχθέντες ἀλλήλοις, ἕνα χορὸν θαυμάσιόν τινα καὶ οἷον τῶν Μουσῶν ἐκεράσαντο. ἐὰν δὲ ἐθέλοιεν μὴ σὺν ἀλλήλοις χορεύειν, ζημιοῦνταί τε ὑπ' ἀλλήλων καὶ ζημιοῦσιν ἀλλήλους τὰ ἴσα. καὶ ὁ μὲν τῶν φιλοσοφίας παίδων χορὸς στα-

μνόν τις γάμον, ἡδονῆς καὶ χάριτος ἄμοιρος· ὁ δὲ, ἀχαλίνωτος ὢν κοσμιότητι, πολλάκις καὶ εἰς ἀταξίαν ἄμουσον ἐκβακχεύεται. κάλλιστος δὴ χορῶν ἐκεῖνος, ὅταν ἀλλήλοις συναφθέντες οἱ ἀδελφοὶ ἡδονὴν εἰς τὸν χορὸν καὶ κοσμιότητα μίξωσιν, οὓς δὴ καὶ ὑμῖν σήμερον συνεχῶς ἐπαγγέλλονται· αἰτοῦσι δὲ ὑμᾶς ἀντὶ ταύτης τῆς προθυμίας οὐ χρυσὸν οὔτε δόξαν, οὔτε φιλόχρυσοι εἰσὶν οὔτε φιλότιμοι, ἀλλὰ φιλανθρωπίαν ἀληθινὴν καὶ ἴσον ἔρωτα. νῦν γὰρ ἔτι μοι ἀπιθοῦσι, καὶ οὐκ οἴονται παρ' ὑμῶν κατὰ τὸ ὅμοιον ἀντερᾶσθαι. ἀλλά με εἰπεῖν τινα λόγον κελεύουσιν ὑμῖν, ὃν ἐγὼ λέξω μάλα ἀρχαῖον ὄντα καὶ σπουδῆς ἄξιον. φιλόμυθόν τε γάρ πως γένος ἐστὶ τὸ ἡμέτερον, ἀδολεσχεῖν τε τὰ πολλὰ δοκοῦμεν, ἀκρατῶς τε καὶ ἀκορέστως ἔχοντες τῶν παλαιῶν λόγων. ὅτι τὸν ἔρωτα ἐγέννησεν ἡ Ἀφροδίτη, τὰ μὲν ἄλλα καλός τε λίαν ὁ παῖς, καὶ τῇ γεννησάσῃ προσήκων· ἀτὰρ οὐκ ηὔξετό γε εἰς μέγεθος τῷ κάλλει πρέπον, οὐδὲ ἐπεδίδου τὸ σῶμα, ἀλλ' ἔμενεν πολὺν δὴ χρόνον οἷος ἐτέχθη. ἠπορεῖτο οὖν πρὸς τὸ πρᾶγμα ἥ τε μήτηρ καὶ αἱ τροφοὶ τοῦ βρέφους αἱ Χάριτες· καὶ φοιτῶσαι πρὸς τὴν Θέμιν, (οὔπω γὰρ εἶχε Δελφοὺς ὁ Ἀπόλλων) ἐδέοντο λύσιν τινὰ ἐξευρεῖν τῷ παιδὶ τῆς ἀτόπου καὶ θαυμαστῆς συμφορᾶς. εἶπεν οὖν ἡ Θέμις, ἀλλ' ἐγὼ, ἔφη, παύσω ὑμᾶς ἀπορουμένας. νῦν γὰρ οὔπω ἴστε τὴν φύσιν τοῦ βρέφους. ὁ Ἔρως ὁ σὸς ὁ ἀληθινὸς, ὦ Ἀφροδίτη, τεχθείη μὲν ἂν ἴσως καὶ μόνος, αὐξηθείη δὲ ἂν οὐδαμῶς μόνος· ἀλλά σοι δεῖ καὶ Ἀντέρωτος, εἰ βούλει τὸν Ἔρωτα αὐξηθῆναι. ἔσται δὲ αὕτη φύσις τοῖσδε τοῖς ἀδελφοῖς· ἀλλήλοις αἴτιοι τῆς αὔξης ἄμφω γενήσονται. ὁρῶντες μὲν γὰρ ἀλλήλοις ἴσα βλαστήσουσι· θατέρου δὲ ἀπολειφθέντες, ἄμφω μειώσονται. οὕτω δὴ κύει τὸν Ἀντέρωτα ἡ Ἀφροδίτη· καὶ αὖ ἔδραμέ τι παραχρῆμα ὁ Ἔρως

ὲ τὰ πτερὰ ἔφυσε, καὶ ὑψηλὸς ἦν. ἅτε δὴ ἐν τοιαύτῃ τύχῃ καθεστηκώς, ἄτοπα ὑπομένει πάθη πολλάκις, καὶ ποτὲ μὲν θάλλει, ποτὲ δὲ φθίνει· πάλιν δὲ αὔξεται, δεῖται δὲ ἀεὶ τἀδελφοῦ συνόντος· καὶ μέγαν μὲν ἐκεῖνον ὁρῶν, μείζων φαίνεσθαι φιλονεικεῖ· σμικρὸν δὲ καὶ ὀλίγον φωράσας, πολλάκις οὐδὲ ἐθέλων ἀπομαραίνεται. οἴεσθε οὖν τι μὲ ἴσως σεμνὸν εἰρηκέναι· ἐγὼ δὲ λέγω ὅτι τῶν λόγων ἀντερᾶν ἀνάγκη τοῖς βουλομένοις τοὺς λόγους αὔξειν καὶ τὸν ἔρωτα αὐτῶν. τῷ τοι καὶ ἐλπίσας ἐγὼ, τὸν θεὸν ἐδεξάμην τε καὶ ἐνίδρυσα τῇ ψυχῇ· καὶ αὐτὸν οὐκ ἐθέλω ψεύσασθαι τῆς ὑποσχέσεως. ὑπεσχόμην δὲ εἰσοικιζομένῳ τὸ πρῶτον, αὐτίκα οἱ καὶ τὸν ἀδελφὸν συμπαρέσεσθαι τοῖς παιδικοῖς ἐνοικήσοντα. ἢ τίνι με ἄλλῳ δοκεῖτε πρὸς τὸν πόθον ὑπάγεσθαι; πότερον τῇ παραδόξῳ ταύτῃ καὶ μακρᾷ θαλάττῃ; ἀλλ' οὐδὲν ἐμοὶ μᾶλλον προσήκει θαλαττουργίας ἢ τοῖς ἀρκαδικοῖς στρατιώταις. ἢ τοῦ ποταμοῦ τοῦ φρυγὸς τῇ φιλανθρωπίᾳ; ἀλλὰ καὶ τὸν νεῖλον ἄγαμαι τὸν αἰγύπτιον, οὐχ ὅτι λινῶν πατήρ, ἀλλ' ὅτι ῥεῖ διὰ τῶν σοφῶν αἰγυπτίων. ἢ τῷ μεγέθει ταυτησὶ τῆς προσοίκου λίμνης; διὰ τί οὖν οὐκ ἐπόθησα τὴν μαιῶτιν λίμνην τὴν τῶν ἑξακισχιλίων σταδίων; ὅτι δὴ σφόδρα ἀμαθεῖς αὐτὴν οἰκοῦσι καὶ βάρβαροι. μεγάλα μὲν γὰρ καὶ ταῦτα τῶν ὑμετέρων. καὶ προσθείη γέ τις ἕτερα πλείω τῶν τὰ τοιαῦτα τιμώντων, ἢ λουτρῶν τε ἀμήχανα κάλλη, καὶ θεάτρων καὶ ἱπποδρόμων. ἀτὰρ ὑμῖν γε ὦ φίλοι, (οὐδὲν γὰρ ὑμᾶς δέομαι ἀποκρύπτεσθαι, ἀλλ' ὅ,τι γε δεῖ τὸ κινῆσαν τὸν ἔρωτα) ἐπεὶ πρός γε τὰ τοιαῦτα μεγαλοψυχία τις οὐκ ἀγεννὴς καὶ πάτριος ἡμῖν ὑπάρχει, καὶ οὔτ' ἂν ἄνδρα ποτὲ ἀγαπήσαιμεν ὅτῳ τὰ μὲν τῆς ψυχῆς ἀγαθὰ μὴ σφόδρα παρείη, τὰ δὲ ἔξωθεν περιείκοιτο πολλὰ καὶ ποικίλα, (καθάπερ τῷ κολοιῷ περιέθηκεν ὁ μῦθος τὰ πτίλα, ἐν τῷ ἀγῶνι τοῦ κάλλους ἀλ-

λότειον αὐτοῦ περιεργαζόμενος κόσμον (ἔπι οἰκείου δὲ ξυγγένους) οὐδ' ἂν οἴκησιν μὲν οἰκοίη τοῦ σατράπου βασιλέως ἀμείνονα, ἀμφιέννοιτο δὲ λεπτότερα τῶν ἀραχνίων, (οἷα τοῦ Ἡφαίστου δεσμά φησιν Ὅμηρος, ἃ οὐχ ὁρώμενα, ὅμως δέει τοῖς ἀκολάστοις ἰσχυροῖς τισι καὶ ἀρρήκτοις δεσμοῖς) καὶ τὸν ἄλλον δὲ πολλὺν ἀμπέχοιτο κόσμον, καὶ τοιαύτην ἔχοι μορφὴν οἵαν ἐγώ ποτε εἶδον περσικὴν γραφὴν τῶν περσικῶν τινὶ βασιλέων. νεανίσκος ἐστὶν ὡραῖος ἐπικαθήμενος θρόνῳ βασιλικῷ, πάρεαν ἔχων ὑακίνθου τε καὶ σμαράγδου, καὶ στρεπτὸν τοιοῦτον πλατὺν, καὶ χλαῖναν ἁλουργῆ τε καὶ χρυσόπαστον ἠμφιεσμένος. ὅμως κἂν ταύτης τις αὐτὸν τῆς εἰκόνος, οὐ πάνυ τιμιώτερον αὐτὴν τῆς γραφῆς ἡγησόμεθα. καί τοι τί ἂν γένοιτο ἀηδέστερον ἢ μετέχειν δοκοῦντα ψυχῆς, τοῖς τῶν ζωγράφων ἔργοις προσεοικέναι; ἃ βούλεται μὲν καὶ πᾶσιν ἀνοίγειν ἐθέλει τοὺς ὀφθαλμούς, ὡς ζῶντα δὴ καὶ νοῦν ἔχοντα· ἂν δὲ ἀνερέσθαι τι καὶ μαθεῖν σπουδάσῃς, μετὰ πολλῆς σεμνότητος ἡσυχάζει. οὔτ' οὖν ἄνδρα τὸν τοιόνδε διὰ σπουδῆς ἂν ἔχοιμέν ποτε, οὔτε πόλιν ἐν ᾗ μὴ τίμια τὰ Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἀπόλλωνος τεμένη, θέατρα δὲ καὶ βαλανεῖα, καὶ οἱ τῶν ἀθλίων ἱππαείων δρόμοι· οὔτε ἂν ὑμᾶς ποτε ἠσπασάμεθα, εἰ μή τι καὶ ἀρετῆς μεταποιουμένους ἔγνωμεν· οὔτ' εἰ πολλῷ στενότερος ὑμῖν ὁ κόλπος ἦν ἅμα καὶ καθαρώτερος, οὔτ' εἰ ὁ σαγγάριος αἴτι σίτου χρυσίου ψῆγμα κατὰ Σωκράτην, ἔστι μὲν ἀνδρὸς ἑνός, ἔστι δὲ ὅλης πόλεως. ὥσπερ οὖν ἄνθρωπον, οἶμαι, σπουδαῖον λέγομεν, οὐ τὸν πολλοὺς μὲν ἀγροὺς πολλὰς δὲ οἰκίας πεπαμένον, πολλὰ δὲ ἱμάτια καὶ ὑποδήματα, καὶ δειπνοῦντά τι ἐκ πολυτελοῦς τραπέζης, καὶ πίνοντα ἀπὸ χρυσῶν ἐκπωμάτων, ἀλλ' ὅστις νοῦν ἔχει πολὺν, καὶ παιδείας ἐπιμελεῖται. τὸν αὐτὸν δὴ τρόπον καὶ πόλιν οὐκ ἐν ᾗ πολλὰ μὲν ὤνια ξυ-

φώσης ἀγορᾶς· πολὺς δὲ ἀνθρώπων μεθυόντων ὄχλος, πολὺ δὲ ἀργύριον καὶ χρυσίον ἐπὶ τῶν τραπεζῶν εἰκῆ κείμενον, θεάτρων τε ἄκλειστοι πύλαι, καὶ ἵππων συνεχεῖς ἅμιλλαι τῶν ἀπολέμων, μᾶλλον δὲ πολεμοποιῶν ἀληθέστερον. οὐ γὰρ ἔνεστι τὴν τοιαύτην μὴ ὕπουλον εἶναι καὶ νοσεῖν ἔνδοθεν· δηλ' ἐνίοτε μὲν αὐτῆς λανθάνει τὰ ὑπουλαίνοντα, καὶ σφόδρα ἂν εὐδαίμων δόξειε τοῖς τὰ φαινόμενα θεωμένοις, ἐνίοτε δὲ ἐκλάμψαντα καὶ ἐκραγέντα δίδωσιν αὐτῇ τὸ τοῦ Σο-
“ φοκλέους ἀκούειν οἰκείως, πόλις δὲ ὁμοῦ μὲν θυμιαμάτων γέ-
“ μει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. ἀλλὰ Φωκυλί-
“ δης τά τε ἄλλα ἀληθῶς λέγει, καὶ ὅτι σμικρὰ πόλις μετὰ
“ φρονήσεως ἐπὶ σκοπέλου κατοικοῦσα, κρείττων Νίνου ἀφρο-
νούσης. ἐγὼ δὲ θέλω μὲν καὶ τὴν γῆν ὑμῶν καρποὺς ἀμείνους τῶν ἄλλων ἐκτρέφειν· περὶ πλείονος μέντοι ποιοῦμαι τὰς ψυχὰς ὑμῶν παιδείαν βλαστάνειν, ἣν ξυλλέγουσι μὲν ἐκ τῶν Ἀπόλλωνος λειμώνων αἱ Μοῦσαι, ψυχαῖς δὲ ἐρωτικαῖς καὶ φιλοκάλοις ἐννεοττεύουσί τε καὶ ἐργάζονται. αἳ δὴ αὖ τὸ σμῆνος αὐτῶν εὐμενῶς προσδέξωνται, πτεροφυοῦσί τε αὖθις, καὶ τὰ ἐν ποσὶν ἀτιμάσασαι περιπολοῦσι τὸν οὐρανόν.
“ καὶ αὗταί εἰσιν ἃς Εὐριπίδης ὁ σοφὸς οὔτε πολιτῶν φησὶν
“ ἐπὶ πημοσύνας, οὔτε εἰς ἀδίκους πράξιας ὁρμᾶν, ἀλλ' ἀ-
“ θανάτου καθορᾶν φύσεως κόσμον ἀγήρων. τῷ γὰρ ὄντι παιδείας ἀληθινῆς μείλιχον καὶ ταπεινὸν καὶ πρᾶον τὸ ὄμμα, οἷον ἐν ζάλῃ κονιορτοῦ τε καὶ πνεύματος ἀποσκεπομένης τινὶ καρτερῷ τείχει, μᾶλλον δὲ αὐτῆς ἀποσκεπούσης τοὺς ἑαυτῆς θιασώτας, καὶ φραγνυμένης ἕρκει παντὸς ἀδάμαντος ἀρρηκτοτέρῳ, ὃ μήτε ὕβρεως ἰσχυρὰ προσβολὴ, μήτε ἡδονῆς δολερὰ μηχανήματα ἀπετῶς σαλεύσειεν ἂν· στέργειν δὲ δύναται καὶ τύχης φορὰς ἀσταθμήτους. μόνον γὰρ τοῦτο τῶν τειχῶν ἀτεχνῶς Ἀπόλλωνος ἔργον. ἐκεῖνο δὲ ἐκ ἴσω,

οἶμαι, τὸ

οἶμαι, τὸ ἡρωϊκόν. οὐ γὰρ ἂν ἥλω ῥᾳδίως ἐκ μικρᾶς ἀπάτης. μὴ λεγέτω οὖν ἡμῖν Ὅμηρος ὅτι Λαομέδοντι θητεύοντες Ἀπόλλων τε καὶ Ποσειδῶν ἐπυργώσαντο τὴν Ἴλιον, μηδ' ὅτι διὰ πυρὸς καὶ ὕδατος ἐξειργάσθη, καταψευδέσθω δουλείαν ἄμισθον τῶν θεῶν. τὰ παιδία γὰρ αὐτῷ προσέξει τε καὶ πειθήσεται καὶ συνήσει κομψευομένῳ ποιητικῶς. ἀλλ' ἐκεῖνα αὐτοῦ μᾶλλον ἀποδεχόμεθα, ἐν οἷς πεποίηκε τὸν βασιλέα τῶν ἀχαιῶν αἰτοῦντα οἱ παρὰ τῶν θεῶν δέκα γενέσθαι οὐ πολεμιστὰς οἷος Ἀχιλλεύς, ἀλλὰ συμβούλους οἷος ὁ Νέστωρ ὁ πάνυ πρεσβύτης καὶ πρὸς τὰς μάχας ἀχρεῖος· ὃν οὕτω βαρύνεσθαι τῷ γήρᾳ φησὶν ὥστε καὶ σπάιον ἱμάντα διατεμεῖν μόλις. φρόνησιν γάρ, οἶμαι, ῥώμης τιμιωτέραν ἡγεῖται, καὶ τὸ παιδευθῆναι καλῶς, τοῦ γεννηθῆναι. οὕτω δὲ αὐτῷ ὁ μὲν Νέστωρ ἅπαντα καὶ λέγει καὶ πράττει τῆς ἀρχῆς ἐπαξίως· ὁ δὲ γενναῖος Ἀχιλλεύς, ὁ τὴν μελίαν ἐκείνου πάλλων, καὶ τοῖς ἀθανάτοις ἵπποις ὀχούμενος, καὶ τὰς τρεῖς καὶ εἴκοσιν ἐκπορθήσας πόλεις, ὅμως ἐπειδὴ παιδείας ἐνδεῶς εἶχεν ἔτι, οὐδὲν πάνυ προσῆκε τῷ Φοίνικι· ἀλλὰ κλάει μὲν δι' αἰχμάλωτον κόρην, κυλινδεῖται δὲ χαμαὶ δι' ἑταίρου θάνατον ἀναγκαῖον· καὶ αὐτοῦ κατέχουσιν ἕτεροι πρὸς βίαν τὰς χεῖρας ὥσπερ μεμηνότος. νεκρὸν δὲ ἀπολύει χρυσίου, καὶ μισθοῦ διαλλάττεται, καὶ ἄλλα πλείω πεποίηται πλημμελῶν· ἐνδεικνυμένου τοῦ ποιητοῦ ὡς οὔτε γονέων ἐπιφανείας, οὔτε σώματος ῥώμης, οὔτε ποδῶν ὠκύτητος, οὔτε κάλλους ὑπερβολῆς ὄφελος μέγα τῷ κεκτημένῳ, δίχα φρονήσεως· ἀλλὰ τὰ λαμπρὰ ταῦτα καὶ σεμνά, παιδείας μὲν κατακοσμούσης, οὐ πάντη ἂν ἄτιμα δόξειεν, ἄνευ δὲ ταύτης ἐπιφανεστέραν ποιεῖ τὴν μοχθηρίαν. οὐκοῦν οὐδὲ ἐκ τῆς ἑτέρας ποιήσεως καὶ θατέρου τῶν φιλοσόφων, οὕτω παρατεταγμένως καὶ καρτερῶς ἀμυνομένου τὴν τύχην, ἀλλὰ τὸ

ἐμοὶ δοκεῖ λέγειν ὁ ποιητὴς ἡ ὅτι φρόνησις καὶ ἡ σύμπασα ἀρετὴ ἄμαχός ἐστι πρὸς ἅπαντα καὶ ἀήττητος, καὶ ὁ ταύτην ἰσχυρῶς περιβεβλημένος βαδίζει, φησὶν, οὐκ ἀγεννὴς, οὐδὲ κάτω βλέπων, ἀλλ' ὡς ἐκεῖνος ἐβάδιζε πρὸς τὴν Ναυσικάαν, ἡνίκα γυμνὸς καὶ μόνος διαφυγὼν τὸ κλυδώνιον, ὅμως ἐπιδεικνὺς τὴν ἀρετὴν αἰτῇ ἱματίων ἠμφίεστο, ἐπῄει πρὸς τὴν θυγατέρα τοῦ βασιλέως, οὐ πτωχῷ, φησὶν, ἐναλίγκιος, οὐδὲ ἱκέτου ἐν σχήματι κατεπτηχότος· ἀλλά τινα ἐξεῦρεν εἰκόνα, οἷα τῆς ἀρετῆς εἰκονογράφος, Ἤιεν ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς. ἡ δὲ ἀλκὴ ἦν ἄρα ὁ λόγος, ὃν ἀφελέσθαι μόνον τὸ δαιμόνιον οὐκ ἐξίσχυσε, καίτοι τά χρήματά γε ἀφελόμενον, καὶ τὰς ναῦς, καὶ τοὺς στρατιώτας, καὶ νὴ Δία γε τὴν χλαῖναν τὸ τελευταῖον, ἐν οἷς οὐκ ἦν ἡ δύναμις ἡ Ὀδυσσέως. τῇ γοῦν ἀλκῇ ἐπεποίθει, καὶ ἐκείνων ἀπολωλότων.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΞΙΩΣΑΝΤΑ λέγειν ἐκ τοῦ παραχρῆμα. Λόγος ὄγδοος.



ΑΛ' εἰ καὶ σφόδρα ἦν σοφὸς ὁ Φειδίας ἐν χρυσῷ καὶ ἐλέφαντι μορφὴν ἐπιδεῖξαι θείαν ἢ ἀνθρωπίνην, ὅμως χρόνου γε ἐδεῖτο καὶ σχολῆς πλείονος εἰς τὰ ἔργα. λέγεται γοῦν, ἡνίκα ἐδημιούργει τὴν Ἀθηνᾶν, οὐδὲ εἰς τὴν κρηπῖδα τῆς θεοῦ μόνην ὀλίγου χρόνου προσδεηθῆναι. εἰ οὖν τις αὐτὸν αὐθημερὸν ἐκέλευσεν ἐπιδεῖξαι τὴν τέχνην, τί ἂν ἔδρασεν; ἢ πῶς ἐπείσθη τῷ ἐπιτάγματι ἄν; σκόπει δῆτα εἰ καλῶς ἂν πρὸς τὸν ἐραστὴν ἀπεκρίνατο ὅτι, ὦ χρηστὲ καὶ τῶν ἐμῶν ἔργων φιλοθεάμον, εἰ μὴ συγχωρεῖς μηδὲ ἐπιτρέπεις καιρὸν ὥστε καινόν τι καὶ νέον δημιουρ-

ζητοῦσαι, σὺ δὲ ἐπίσκεψαι τὴν Ἀθηνᾶν τὴν ἐν τῇ πόλει, ἢ τὸν Δία τὸν Ὀλυμπιάσι, καίτοι ταῦτα ἀποχρήσει πρὸς τὸ Φειδίαν θαυμάσαι· κἀγώγε, ὦ μακάριοι, τὸν ἐμὸν ἐραστὴν, ἐπειδή μοι καὶ αὐτὸς οὕτως ἔχειν δοκεῖς ὡς καὶ τήμερόν τι μου ποθεῖν δημιούργημα, παρακαλέσαιμ' ἂν προσιδεῖν τι τῶν εἰργασμένων. οὐδὲν γὰρ δεῖ σε, οἶμαι, βαδίζειν εἰς τὸ τοῦ ἔργου· φέρω γὰρ ἐν ἐμαυτῷ τὰ τῆς ἐμῆς τέχνης ἀγάλματα, ἃ δημιουργεῖται μὲν καθ' ἕνα τόπον, συμπερίεισι δὲ ἁπανταχόθι τῷ τεχνίτῃ. τοσόνδε μέντοι μοι χάρισαι, ἔασόν με κατὰ χρόνον ἐργάσασθαι τὴν σὴν εἰκόνα. οὐ γὰρ οὕτως εἰμὶ σοφὸς οὐδὲ εὔπορος ὥστε αὐτοσχεδιάζειν ὥσπερ ἔτυχε τὰς γραφὰς, καθάπερ οἱ δαιμόνιοι σοφισταί. ἀλλ' οὐδὲ ἅπαντα γράφειν ἄρχοντα δύναμαι, ἀλλ' ὅς ἄν μοι τόνδε τὸν πίνακα ἐντρεπίσειεν, ὃς χωρήσει μὲν δικαιοσύνην μετὰ τῆς εἰκόνος, χωρήσει δὲ πρᾳότητα μετ' ἐξουσίας, πολλῶν τε ἄλλων θεῶν καὶ δαιμόνων ἀγαθῶν ὅμιλον, ὃν διαγράφειν θέμις τοῖς ἀπὸ Σωκράτους γραφεῦσιν. οὐ σφόδρα οὖν μοι συνήθες τὸ ἔργον, ἅτε δὴ σφόδρα ὀλίγων ἀποροῦντι τῶν ἀρχετύπων. ὃν δὲ σύ μοι πίνακα πήγνυσαι, καλός τε ἐστὶ καὶ μέγας, καὶ οὐ στενοχωρήσεται ἡ γραφή. ἀλλὰ στήσωμεν ἐπὶ δεξιᾷ τὸν νόμον ὃς παιδόθεν σε ἐθρέψατο καὶ νῦν συνθακεῖ· στήσω δὲ ἐπὶ θάτερα τὴν δίκην, ἥ σε μήποτε ἀπολείψοι. καὶ δὴ καὶ τὸν ἄλλον χορὸν, ὃν ἄν μοι τὸ παράδειγμα ὑποδεικνύοι· ὑποδείξει δὲ εὖ οἶδα, ὥστε μὴ ἐπιλείπειν τὰ χρεία. νῦν δὲ, οὐ γάρ μοι τοσαύτη σχολή, προχειριστέον τι σοὶ τῶν ἀποθέτων. πάντως οὐκ ἔστι τὸ λόγων κάλλος οἷον ἀρτιτόκοις μὲν ἴσμεν ἐπανθεῖν, πρεσβυτέρων δὲ ἀπομαραίνεσθαι; ἀλλ' οἷοί περ ἂν ἐξ ἀρχῆς τεθῶσι, τοιοῦτοι καὶ τὸν ἅπαντα μένουσι χρόνον.



ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΩΝ ΗΤΥΧΗ-κότων ἐπὶ Οὐάλεντος. λόγος ἔνατος.



ΟΙΜΑΙ σε θαυμάζειν, ὦ βασιλεῦ, τί δή ποτε οὐ παραχρῆμα ἐπὶ τῇ νίκῃ καὶ ἐφεξῆς τοῖς πεπραγμένοις τὸ παρὰ τοῦ λόγου τοῖς ἔργοις χαριστήριον προσενήνοχα· ἀλλὰ τοσοῦτον χρόνον διαλιπὼν δόξαιμ' ἂν ἴσως ἀπαντᾶν ὑστερήμερος τοῖς τὰς μνᾶς ὥσπερ δανείσματος λογιζομένοις, μηκέτι δὲ ἐνθυμουμένοις ὅτι τὰ τῆς φιλοσοφίας ὀφλήματα βραδύτερον ἐκτιννύντας, οὐδὲν θαυμαστὸν τοῦ καιροῦ μᾶλλον τυγχάνειν τῶν λίαν ἐσπουδακότων. καὶ δὴ τοῦτο αὐτὸ πρῶτον δεῖ σαφέστερον καταστῆσαι, ὅτι βέλτιον διαλύει τὸ χρέος ὁ λόγος εἰς τὸν παρόντα χρόνον ἀναβαλλόμενος, ἢ εἰ τῶν πραγμάτων εὐθὺς κατηπείχθη. μικρὸν δὲ ἄνωθεν. πρέπει γάρ, οἶμαι, κατὰ τὴν Θηβαίαν λύραν, τοῦ λόγου θέσθαι πρόσωπον τηλαυγές. δύο εἰσὶν ἀρχαί, φιλανθρωπότατε αὐτοκράτορ, διακυβερνῶσαι τὸν βίον, ὡς ἔπος εἰπεῖν, τὸν ἀνθρώπινον· ὧν ἡ μὲν ἔνδοθεν τῆς ἡμετέρας κρίσεως καὶ ὁρμῆς, ἡ δὲ ἐκ τῶν ἔξωθεν αἰωρεῖται. καὶ τῆς μὲν ἡμεῖς κύριοί τε καὶ αὐτοκράτορες, καὶ τὸ εὖ ἢ κακῶς παρ' ἡμᾶς ἐπὶ ταύτης ἐστί· τὴν δὲ ἐνείμαντο πλείους ἡγεμονίαι. ἢ γὰρ πρόνοια τοῦ κρείττονος, ἢ ἀνάγκη, ἢ τὸ αὐτόματον τὰς ἔξωθεν ἡμῖν αἰτίας ἐπιτροπεύουσιν. ἀγαθοὶ μὲν οὖν καὶ μοχθηροί, καὶ ἐπαίνων ἄξιοι, καὶ τοὔμπαλιν κατηγορίας κατ' ἐκείνην ἐσμὲν τὴν μερίδα τὴν ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἧς ταυτὶ πάντα ὁρμητήρια· ἀτυχεῖς δὲ καὶ κακοδαίμονες καὶ μακαριστοί, ἢ τοὐναντίον, διὰ τὰς ἔξωθεν ἐπιτροπείας. εἰς ταύτας, ὦ βασιλεῦ, τὰς ἀρχὰς φιλοσοφία τὰ ἀνθρώπινα ἔργα διελομένη πάντα, μᾶλλον δὲ τῇ διαιρέσει τῆς φύσεως ἑπομένη ἀκο

λυθήσασα, καὶ ἐφ' ἑκάστου παραδείγματος περισκοπεῖν εἰωθεν ὧν πράττειν δοκοῦμεν, πόθεν ὁρμᾶται πᾶν, ἆρα ἔνδοθεν καὶ ἐκ τῶν ὁρίων τῆς ἡμετέρας ἐπικρατείας, ἤ τι τῶν ἔξωθεν ἡμῶν κυριεύει τοῦ πεπραγμένου, πότερον ἀρετῆς μαρτύριον ἢ ἀτυχίας, καὶ ψόγον ἢ οἶκτον μᾶλλον ἐπιζητεῖ. καὶ νῦν καὶ τῶν ἡμετέρων ἔργων ἕκαστον ἐπισκοποῦντι ἔν τι τῆς ἑτέρας μερίδος χωρίον ἀμφοτέρων μετέχειν ἀνάγκη. ἔστι γὰρ ὅτε καὶ πόρρωθεν διεστῶτε καὶ ἀναμίγνυσθον, καὶ δυεῖν ὄντων χωρῶν εἰς οὓς αἱ πράξεις ἡμῶν διαιροῦνται, πολέμου φημὶ καὶ εἰρήνης, τῆς μὲν ἐφ' ἡμῖν τὰ πλείω, τοῦ δὲ πολέμου ὁρῶμεν καὶ τὴν τύχην ἀμφισβητοῦσαν. ἤδη γάρ ποτε καὶ μηδ' ὁπωσοῦν παραλιποῦσι τῆς εἰς νίκην βεβαίας ἐλπίδος, ἀλλὰ καὶ στρατηγῶν ἀρετῇ καὶ δυνάμεως περιουσίᾳ καὶ αὐτῇ τῇ τοῦ πολέμου ἀφορμῇ τιμιωτέρᾳ χρωμένοις, τὸ τέλος ἀλλόκοτον ἀπήντησεν. ὥστε καὶ νίκαι αἱ ἀκόλουθοι ἐκβῇ ταῖς ἀμείνοσι παρασκευαῖς, ἀμφίβολον εἶναι πότερον τῆς τύχης δῶρόν ἐστιν, ἢ τῆς γνώμης κατόρθωμα τοῦ κρατήσαντος. διὰ ταῦτα τοίνυν, ὦ φιλανθρωπότατε αὐτοκράτορ, ἐπὶ μὲν τῇ νίκῃ πῶς ἦγες τὴν ἡσυχίαν, δι' ἧς κατέστησας τὸν περιόλω χημφῶτα· εἰδὼς ὅτι πολλοὶ τῶν ἐπαίνων τούτων ἀμφισβητοῦσι. χωρὶς γὰρ τῆς ἔξωθεν καὶ δαιμονιωτέρας αἰτίας, ἣ τὰ πολλὰ τὰς ἐν τοῖς πολέμοις ῥοπὰς ταλαντεύει, οὐ μόνοι λοχαγοὶ καὶ στρατηγοὶ καὶ ταξίαρχοι, ἀλλὰ καὶ τῶν ὁπλιτῶν ἕκαστος καὶ τῶν ἱππέων καὶ σφενδονίτης καὶ τοξότης μεταποιεῖται τῆς ἐπὶ τῇ νίκῃ φιλοτιμίας· καὶ οὐ μόνον Ἀχιλλέως ἀκούομεν ἀμφισβητοῦντος παρ' Ὁμήρῳ τῶν αἰχμαλώτων, ἀλλ' ἤδη καὶ τοῦ γελοίου Θεράπου. καίτοι περὶ σοῦ λέγοιτο ἂν καὶ ἐκ σοῦ μόνου τὸ ὅλον ἔργον τὸ σύμβαν, μὴ παντάπασι κολακεύειν δοκεῖν. ὁ γὰρ πολλάκις ὥσπερ ἐν ῥοπῇ πνευμάτων τῆς κρίσεως τῶν πραγμάτων μεταβαλλούσης, καὶ οὐ μόνον

Crixus. q.

τῶν πολλῶν τούτων σχεδὸν ἁπάντων, πρὸς τὴν τοῦ μέλλοντος ἐλπίδα κραδαινομένων, ἀλλ' ἤδη καὶ τῶν ἐν σεμνοτέρῳ προσχήματι, ἐπὶ μιᾶς γνώμης μείνας ἀεὶ καὶ ἐπὶ τοῦ αὐτοῦ χρώματος, καὶ μήτε ἐπάρας μήτε ὑφεὶς τῆς φωνῆς, μόνος σὺ μάλιστα ᾔσθου ὦ βασιλεῦ. καίτοι τίνα οὐκ ἂν ἐξέπληξε, καὶ λίαν ὄντα (καθ' Ὅμηρον) ταλασίφρονα, ὁ κατακλυσμὸς ἐκεῖνος καὶ ἡ ζάλη καὶ ἡ τρικυμία, ἄνευ μὲν ἀρξαμένη, πλὴν δὲ ἐν ὥρᾳ κατασκευασθεῖσα, ὅτι θεοῖς ἐχθρὸς ἀνθρώποις, ἐν ὑπογραφέως ἀεὶ μοίρᾳ διαβιούς, ἐκ τοῦ μέλανος καὶ τῆς καλαμίδος ἐτόλμησεν εἰς νοῦν ἐμβαλέσθαι τὴν ῥωμαίων ἡγεμονίαν, ὄλεθρος ἐξ ὀλέθρων, τυφῶν ἀτεχνῶς, ἐκ τοῦ κιλικίου κωρύκου, ἐκ τῶν πνιγέων ἀναδύς, καὶ μέτρον τὸ πανταχόθεν ἀδόκητον τῆς τόλμης ποιησάμενος ὁρμητήριον, παρὰ τὸν Κρίξον, παρὰ τὸν Σπάρτακον ἐθρασύνετο. καὶ γὰρ ἐκεῖνοι μαχαίρας ἁρπάξαντες ἐξ ὀπτανείου, καὶ τοῖς τῶν δημιοπράτων ὅπλοις ἐνσκευασάμενοι τῶν μονομαχούντων ἐν τοῖς σταδίοις, τὸ μὲν αὐτίκα γελοῖοι τοῦ σχήματος ἐνομίσθησαν, τῆς καινουργίας δὲ αὐτοῖς συναυξούσης τῆς ἐπισωρευομένης ἀεὶ τὸν πολὺν συρφετόν, καὶ πρὸς τὰ ξένα καὶ παράλογα κεχηνότα, τοὺς μὲν ὁμοίους συμπείσαντες, τοὺς ἀμείνους δὲ βιασάμενοι, ἐν ἀκαρεῖ φοβεροὶ κατέστησαν οὐ μόνον πρεσβύταις οὐδὲ στρατηγοῖς τῶν πάλαι ῥωμαίων, ἀλλ' ἤδη καὶ ὑπάτοις καὶ αὐτοκράτορσιν. αἴτιοι δ' ἦν καὶ τηνικαῦτα οὐ δυεῖν οἰκοτρίβων ἀνδρία, ἀλλ' ἀλιτήριοι συκοφάνται καὶ παλαμναῖοι προσαγωγεῖς, οἳ συναναγκάσαντες ἰταλιώτας ἅπασαν ἀσμένως προσίεσθαι τῶν καθεστηκότων μεταβολήν. ὅθεν δὲ οὖν ἐξέβην, ἐξῆν μὲν οἶμαι καὶ τῆς νίκης ταύτης σε μάλιστα αἰτιωμένους, τὸ πᾶν οὐ δοκεῖν λέγειν κεχαρισμένα. διὰ τοῦτο γάρ, ὡς ἔοικεν, ὁ συστρατηγῶν σοι θεὸς εἰς σὲ πανταχόθεν τὸ ἔργον περιωθῶν, καὶ παιόμε-

περὶ Προκοπίου φησὶ τοῦ τυράννου.

ὄνομα πόλεως ἐν Κιλικίᾳ.

γάλην ἀπένειμε τοῖς ὅπλοις μερίδα τοῦ κατορθώματος.
ἀλλ' οἱ πῦρ πνέοντες, οἱ Μιθριδάτου χαλεπώτεροι ῥωμαίοις,
οἱ τὴν κύζικον αὐχοῦντες, ἅμα τῷ γενέσθαι ἐντὸς τῶν σῶν
ὀφθαλμῶν, ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας, ὥσπερ φώ-
ρια κακοῦργοι καταληφθέντες ἐπαυτοφώρῳ, καὶ τοὔνομα
ἀντὶ τῶν ὅπλων τὸ σὸν προὔβαλλοντο, ὀψὲ, σὺν τούτῳ δὲ σω-
φρονήσαντες. τίς οὕτω παρ' Ὁμήρῳ θεὸς ἐπιφανεὶς καὶ τῇ χ-
εὶ πλήξας, γυμνὸν ἐποίησε τὸν τέως νικῶντα, ὡς σὺ πόρρω-
θεν ὁρώμενος, πλεῖν ἢ τετταράκοντα μεταξὺ σταδίων, κατήδε-
σας μὲν τοὺς αὐθάδεις, ἐπραΰνας δὲ τοὺς παροξυνομένους,
προσηγάγου δὲ τοὺς ἀποσκιρτῶντας, ἀπειθεστέρους δ' ἐποίη-
σας ἢ πρότερον ἦσαν; πῶς δὲ ἠπίστουν ἐγὼ Ἡροδότῳ τῷ συγ-
γραφεῖ, τοὺς ἀποστάντας οἰκέτας σκυθῶν ὑποκύψαι μετὰ τῶν
ὅπλων δίχα σιδήρου τοῖς δεσπόταις ἐπιφανεῖσιν. ἀλλ' ἵνα μὴ
αὖθις ὁ λόγος τῆς προτέρας ὁρμῆς ἀπορρυῇ, τὴν μὲν νίκην
εἶναι κοινὴν συγχωρῶμεν τοῖς στρατηγοῖς καὶ τοῖς στρατιώταις, εἰ
δὲ βούλει, καὶ τοῖς σιτοποιοῖς καὶ τοῖς σκευοφόροις· πάντως οὐδὲ
οὗτοι φαύλης μερίδος ἑαυτοῖς εἶναι ἐποιήσαντο. πρὸς ἔτι τοί-
νυν ἀφεώρων, καὶ ποῖον ἔργον ἐκαραδόκουν, ὃ μόνου σοῦ καὶ
μάλιστα σοῦ, καὶ οὐδενὸς ἑτέρου μᾶλλον ἢ σοῦ; καὶ ποίους
ἐπαίνους διενοούμην, ὥς σοι μόνῳ φαινομένους προσήκοντας;
πρὸς οὓς οὐ δεῖ σοι τῆς φάλαγγος, οὐδὲ τῶν ἱππέων, οὐδὲ
ναὶ μὰ δία τῶν δορυφόρων, καὶ ἐξαρκεῖ προελέσθαι καὶ βουλη-
θῆναι. οὐ γάρ ἐστι χειρῶν ἔργον φιλανθρωπία, ἀλλὰ μόνης τῆς
γνώμης τοῦ τὴν ὀργὴν ἀφεῖναι κυρίου. καὶ οὐ μόνος Πλάτων σοφώτα-
τος, ὡς ἔοικε, λόγῳ μὲν ἀπεικάζει τοὺς βασιλέας, θυμῷ δὲ τοὺς
στρατιώτας· ἀλλὰ προλαβοῦσα ἡ ῥωμαίων φωνὴ καὶ ὁ θε-
σμὸς τῆς πολιτείας τὴν ἑκατέροις πρέπουσαν ἀρετὴν ταῖς
ἐπικλήσεσιν ἐνεδείξατο, ὑμᾶς μὲν εὐσεβεῖς καὶ φιλανθρώ-
πους προσαγορεύων, τοὺς στρατιώτας δὲ ἐξ ἀνδρίας μόνης.

τὰς ἐπωνυμίας νομοθετήσας. ἐπεὶ καὶ νῦν πρὸς μὲν τὸ κρατῆσαι τῶν πολεμίων ῥοπήν τινα συνεισήνεγκαν οἱ μετασχόντες σοι τοῦ κινδύνου· τὸ δὲ περισῶσαι τοὺς κρατηθέντας, τοῦ σοῦ μόνου βουλήματος ἤρτηται. δυοῖν τοίνυν ὄντοιν τοῖν εἰρημένοιν, τοῦ τε νικᾷν καὶ τοῦ τῇ νίκῃ χρῆσθαι δεόντως, καὶ τοῦ μὲν κοινοῦ πρὸς τὰ ὅπλα, τοῦ δὲ τῷ βασιλεῖ μόνῳ προσήκοντος, οὕτω τὸ σὸν τιμιώτερον ὥστε καὶ ὁ τοῦ κοινοῦ καρπὸς εἰς τὸ σὸν ἴδιον περιίσταται. νίκης γὰρ ὄφελος οὐδὲ ἓν τοῖς καλῶς αὐτὴν μὴ διενεγκοῦσιν, ἀλλὰ καὶ τοὐναντίον πολλάκις εἰς βλάβην καθίσταται τοῖς ἀτυχήσασι. καὶ τί ποτέ ἐστιν ἕτερον ἡ Καδμεία νίκη, ἢ ὅταν τινὲς ὑπὸ τῆς νίκης ὥσπερ μέθης κατακλυσθέντες, ἀγνοήσωσι τὸ μέτρον τῆς ἐκ κρατεῖν ἀπολαύσεως, καὶ πλουτήσῃ τὸ κέρδος αὐτοῖς εἰς ζημίαν χαλεπωτέραν; οὕτω γὰρ αὐτοί τε ἔπραξαν οἱ τότε Καδμεῖοι, καὶ ὁ μετὰ ταῦτα χρόνος ἐνεπλήσθη τοῦ παραδείγματος. ὀρθῶς ἄρα ὁ Θηβαῖος Ἐπαμινώνδας μετὰ τὴν ἐν Λεύκτροις μάχην μόνος Θηβαίων σκυθρωπακῶς περιῄει· καὶ πρὸς τὸν ἐρόμενον τὴν αἰτίαν, νῦν γὰρ, ἔφη, ἐμοὶ νήφειν καιρὸς, ὅτε τοὺς ἄλλους μεθύειν ἀνάγκη. καὶ οὐδὲ χρήματα εἰσεπράξατο τοὺς αἰχμαλώτους, ἀλλὰ καὶ τὸν ὑπασπιστὴν αἰσθόμενος τῆς φάλαγγος ἀπεσείσατο. Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου πλείονος δόξης τοῦ νικᾷν αἴτιον ἦν ἀεὶ τὸ μετριάζειν ἐπὶ ταῖς νίκαις. οὗ γε καὶ Πῶρον τὸν ἰνδὸν οὐχ ὑφιέμενον ἐν τῇ μάχῃ, ἀλλ' ἄχρι τῶν ἐσχάτων ἐγκαρτερήσαντα, παρεθέντα τε ὑπὸ πλήθους τραυμάτων, ζῶντα λαβὼν, ἤρετο εὐθὺς ἐν τῷ μέσῳ, πῶς σοι ὦ Γῶρε χρήσομαι; ἀποκριναμένου δὲ ὅτι βασιλικῶς, αὖθις ἤρετο, πῶς καὶ ἑτέρως; τοῦ δὲ φήσαντος ἐν τῷ βασιλικῶς πάντα εἶναι, οὐχ ἧττον ἠγάσθη τὸν ἄνδρα τῆς ἀποκρίσεως ἢ τῶν τραυμάτων, γνοὺς ὅτι πάντα ἔνεστιν ἀτεχνῶς ἐν τῷ βασιλικῶς ὧν ἐδεῖτο. ἐδεῖτο δὲ τὸ

φιλανθρώπως, αἰδημόνως, πράως, μειλιχίως μεῖναι πρὸς τὴν παροῦσαν ἀτυχίαν, ἀνεπιφθόνως, μεμνημένοι μάλιστα πρὸ πάντων τῆς περὶ τὴν τύχην ἀπίστου ῥοπῆς. ταῦτα γὰρ ἅπαντα δι' ἑνὸς τοῦ ῥήματος συλλαβὼν ὁ μὲν Πῶρος ᾔτησεν, ὁ δὲ Ἀλέξανδρος ἔπραξε, καὶ οὐκ ἠρνήσατο. οὐδὲ γὰρ οἷός τε ἦν. βασιλέα γὰρ ἀξιοῦντα εἶναι πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων, ἔπειτα ἐξαρνεῖσθαι πρᾶξαί τι βασιλικῶς, αἰσχρὸν ἦν καὶ μαχόμενον πρὸς τοὔνομα. ἐπεὶ καὶ ἰατροῦ τί ἂν εἴη γελοιότερον ἀρνουμένου τι ποιῆσαι περὶ τὸν ἀρρωστοῦντα ἰατρικῶς; καὶ μουσικοῦ δυσχεραίνοντος πρὸς τὸ μουσικῶς; ἑκάστου γὰρ, οἶμαι, τεχνίτου ἡ περὶ τὴν τέχνην πρᾶξις ἀλλότριον δείκνυσι τὸν πράξαντα τοῦ προσρήματος. ἔοικεν οὖν καὶ κατὰ Πῶρον καὶ Ἀλέξανδρον ταὐτὸν εἶναι τὸ βασιλικῶς τῷ μεγαλοπρεπῶς καὶ φιλοδώρως καὶ τῷ λαβόντι κεχαρισμένως. ἐπεὶ οὖν τοῖν δυοῖν ζηλωτότερος ὁ δεηθεὶς καλῶς ἢ ὁ συγχωρήσας, δῆλον ὅτι ὁ μὲν θεῖος ἔπαινος, ὁ δὲ ἀνθρώπινος. ἤδη οὖν ποτε ἤκουσας Ἡσιόδου τοῦ ποιητοῦ ὅτι ἄλλοι μὲν ἄλλα σαφῶς κλῶνται παρὰ τῶν θεῶν, Ἐκ μὲν Μουσάων „
καὶ Ἀπόλλωνος ἑκάτοιο κιθαριστάς τε εἶναι καὶ ποιητάς, ἐκ δὲ „
Διὸς βασιλῆας. καὶ ὁρῶμεν Ὅμηρον καὶ Ἡσίοδον καὶ τοὺς „
τῶν Ἑλλήνων ἀρχηγέτας. ἀλλ' ἐγώ ποτε ἐπῃσθόμην καὶ τῶν Ἀσσυρίων γραμμάτων ταὐτὸ τοῦτο κομψευομένων, ὡς ἄρα ὁ νοῦς τοῦ βασιλέως ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖται, καὶ δεῖ τὸν κίνδυνον ὁρᾶν, πηλίκος αὐτῷ πρὸς ἀλλοτρίαν τοῦ θεοῦ πρᾶξιν ὁρμήσαντι, ἐκπεσεῖν τῆς χειρὸς τῆς φυλαττούσης. οὐ γάρ σοι μόνον ὦ βασιλεῦ, ἅγια προσήκει φρονεῖν, ἀλλὰ καὶ τοῖς πρός σε διαλεγομένοις ἅγια φθέγγεσθαι, ὡς ἑκάστου ῥήματος τοῦ εἰς τὰς σὰς ἀκοὰς ἐμπίπτοντος εἰς τὴν ἀκήρατον ἐκείνου παλάμην ἐγγραφομένου. διὰ ταῦτα τοίνυν, ὦ θεοφιλέστατε αὐτοκράτορ, τὸν ἄγριον ἐκεῖνον τυφῶ

τα λίαν ἀναιμακτὶ κατειργάσω, ὅτι σοὶ χρηστὰ ἐννοοῦντι τὴν χεῖρα συνεπέδωκεν ὁ θεός. οὐδὲ ἔμελλεν, ὡς ἔοικεν, ἀποπληρῶσαι τὴν σπουδὴν τοῦ παλαμναίου. σπουδὴ δὲ ἦν ἄρα καὶ προθυμία τῆς μιαρᾶς ἐκείνης καὶ κακοδαίμονος κεφαλῆς, εἰς τὸν ἑαυτῇ μόνῃ πρέποντα ὄλεθρον ὡς πλείστους συνεπισπάσασθαι τῶν πολλῶν. οὐδὲ ὑπηρέτης ποτὲ χρηστὸς ἐνομίσθη, ἀλλα βάσκανος, ζηλότυπος, ἀεὶ συγκεκυφώς, ἀεὶ συννεφής, ἐφελκόμενος τὰς ὀφρῦς, τὴν σιωπὴν ὥς τι σεμνὸν μετιών, ἄμικτος, ἀπότροπος, ἀηδίας μεστός, ἐπὶ τῷ μισεῖν ἅπαντας καὶ πρὸς ἁπάντων μισεῖσθαι μεγαλαυχούμενος. καίτοι Φάλαρις καὶ Ἀριστόμαχος καὶ Ἀπολλόδωρος καὶ Διονύσιος εἶχον ἄν τινα ἕκαστος παραστήσασθαι καὶ ἀγαπῶντα καὶ ἀγαπώμενον. οὐδὲ γὰρ τοῖς ἔχεις οὐδὲ τοῖς σκορπίοις ἡ φύσις ἔξω πεποίηκε παντελῶς τοῦ ἐρᾶν καὶ τοῦ ἀντερᾶσθαι, ἀλλ' εἰ καὶ πρὸς ἀνθρώπους κατεσκεύασται δυσμενεῖς, τῆς πρὸς τὰ σύμφυλα φιλίας οὐκ ἀπήλλακται. ἀλλ' ἔοικε καὶ ὁ παλαιὸς λόγος ἀληθὴς εἶναι λίαν καὶ τῆς ἀρχαίας φιλοσοφίας, ὡς ἄρα κατὰ χρόνους τινὰς ὡρισμένους ποτὲ μὲν ἀκήρατοι καὶ θεῖαι δυνάμεις ἐπ' ἀγαθῷ τῶν ἀνθρώπων ἐμβατεύουσι τὴν γῆν, ἐκ τοῦ οὐρανοῦ κατιοῦσαι, (οὐχ ἠέρα ἑσσάμεναι, καθ' Ἡσίοδον, ἀλλὰ σώματα ἀμφιεσάμεναι παραπλήσια τοῖς ἡμετέροις, καὶ βίον ὑποδῦσαι ἥττω τῆς φύσεως, ἕνεκεν τῆς πρὸς ἡμᾶς κοινωνίας) ποτὲ δὲ ἔμπληκτοι καὶ ἀλλόκοτοι, καὶ κακοῦ τινος καὶ ἐριννύων θρέμματα καὶ γεννήματα ἐπὶ λύμῃ καὶ ζημίᾳ καὶ ἀπάτῃ δειλαίων ἀνθρώπων, θηρίων ἐρῶντες καὶ σπαραγμῶν, αἱμοφαγῆς ἀκορεῖς, δάκρυσι πιαινόμενοι, οἵ τι σεισμῶν, οἵ τι λοιμῶν, οἵ τ' ἐπικλύσεως ἐπικόπτειν τὴν γῆν τεταγμένοι ὁπηνίκα ἂν δέηται. θεάσαι γὰρ ἐκ τοῦ ἔναγχος τούτων ὦ βασιλεῦ, ἄρτι καθεστηκυίας τῆς ῥωμαίων ἀρχῆς καὶ γαλήνης λαμπρᾶς ἐφ' ἅπασαν τὴν γῆν τεταμένης, ὥσπερ σώματός τι

ἔξωθεν ὑγιαίνοντος ῥῆμα ὕπουλον ὑποτρεφόμενον ἐν τῷ βάθει περὶ τὸ κυριώτατον τῶν μερῶν ἀπεσήμαινεν. ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον παννύχιοι, καὶ οὐδ' ἂν εἰς Δία ἴσως ἡ κωμῳδία ἡ τηνικαῦτα ἀποδρᾶσθαι ὑπεξείλετο. οὐ γὰρ ἂν περιεῖδεν ἐργαστήριον τοιχωρύχων ἐπὶ κακῷ τῆς οἰκουμένης ἐγρηγορός. κἄπειτα μεθυούσης τῆς νυκτὸς οἱ μὲν ἐξαίφνης ἤγοντο, οἱ δὲ ἐφέροντο· τῶν δὲ τὰς οἰκίας κατελάμβανον στρατιῶται. οἱ δὲ τῶν σκιμπόδων εἰς δεσμωτήρια συνηρπάζοντο· τοῖς δὲ οἱ σκίμποδες ἐγίνοντο ἀντὶ ξύλων. ἀρχαὶ δὲ αἱ μέγισται μετά γε τῆς ἡμετέρας, ἐν μοίρᾳ κακούργων ἦσαν συνειλημμέναι. ἡ δὲ παννυχὶς ἦν ἀξία τῆς τότε νυκτός. καὶ Ὅμηρος μὲν ὄναρ κακὸν ἐπιστῆναί φησι τοῖς τῶν Ἑλλήνων κατασκόποις, τοῖς ἀπὸ Θρᾴκης νεήλυσι στρατιώταις· τηνικαῦτα δὲ οὐ συμπάσῃ μόνῃ τῇ Θρᾴκῃ, ἀλλὰ καὶ ταῖς ἠπείροις ὄναρ σχεδὸν ἀμφοτέραις κακὸν ἐπέστη, μᾶλλον δὲ ἐν καιρῷ ὀνείρατος ὕπαρ. κἄπειτα ἐπέμπετο ἐκ βασιλείου ἐν ἀσπίδι καὶ δόρατι, περιδέραια περικείμενος, παράσημος αὐτοκράτωρ, προσσεσηρώς, ἅπαντας προσκαλούμενος, μειδιῶν μειδίαμα δολερόν, μειδίαμα θρήνων μεστόν, μειδίαμα ἄρξαν πολλῶν δακρύων· ἀτεχνῶς τὰ Πλάτωνος τοῦ θεσπεσίου καὶ ἅ φησιν ἐκεῖνος προδεικνύναι τοὺς τυράννους ἐν τοῖς προοιμίοις, χρεῶν ἀποκοπάς, γῆς ἀναδασμούς, τὴν ἐπὶ Κρόνου καὶ Ῥέας εὐδαιμονίαν, πικρὰ δελεάσματα τοῖς ὑπὸ τούτων ἁλισκομένοις. καὶ θησαυροφυλάκια μὲν ἀνεπετάννυντο, λιμένες δὲ ἀνεῴγνυντο καὶ νεώρια. πολιορκία δὲ ἔσω τείχους περιειστήκει τὴν πόλιν, ἔξωθεν προκαθημένων τὴν σῴζειν προαιρουμένην. εἶτα ἐπίστε τὰ χαλεπώτερα μηχανήματα ὧν αὐτὸς ἦν τέκτων καὶ μηχανορράφος, τὰς ἀτόπους φήμας καὶ τοὺς ἀγγέλους τοὺς ἐκ τῶν προαστείων κεκονιαμένους, τοὺς μὲν ἐξ Ἰλλυριῶν, τοὺς δὲ ἐξ Ἰταλίας, τοὺς δὲ ἐξ ὠκεανοῦ τοῦ ἑσπερίου,

πρεσβεῖαι δὲ εἰσεκαλοῦντο εἰς τὰ βασίλεια σύρων, ἀσσυρίων, αἰγυπτίων, λιβύων, ἰβήρων, ὥσπερ διαπλᾶσαι ἐξαίφνης ἐκ τῶν ἐσχάτων τῆς οἰκουμένης. καὶ τούτοις ἢ πάνυ πιστεύειν ἐχρῆν, ἢ πάνυ δεδιέναι. λαθεῖν γὰρ οὐκ ἦν, οὐ δεδεμένοις, οὐ σιωπῶντας, οὐ στένοντας, οὐ μειδιῶντας· δὴ ἐπιφαίνοντο ἑκασταχοῦ, μᾶλλον δὲ συμπαρῆσαν ἀεὶ κατάσκοποι, ὠτακουσταί, Ἄργου πλείονας ἔχοντες ὀφθαλμούς, Λυγκέως ὀξυωπέστεροι. καὶ τὴν μὲν σεμνὴν γερουσίαν εἰσεπράσσετο εἰσφορὰς πολυστενάκτους, οὐχ οἷον ἅπαξ ἐνιαυτοῦ, μᾶλλον δὲ χειμῶνος ἑνός, οὐχ ἑορτῆς χρόνον, ὥσπερ Νέρων, τὸν τῶν ὀλυμπίων μετατιθεὶς καὶ μεταβάλλων, ἀλλὰ τὸ εἰς πέρισι καὶ τὸ εἰς νέωτα, τὸν ἕνα καὶ τὸν αὐτὸν μῆνα στενοχωρῶν ταῖς εἰσπράξεσιν. ὁ δὲ Κωνσταντίνου δῆμος ὁ τρυφῶν, ὁ ἐν ἀδείᾳ ζῶν, ἐκακῶν ἀπείρατος μέχρι τῆς ἑσπέρας ἐκείνης, ὃν σὺ παρὰ τῶν ἐκείνου κληρονόμων διαδεξάμενος, οὐκ εἴασας αἰσθέσθαι τῆς τοῦ γένους μεταβολῆς, ὑπὸ τοῦ Κωνσταντίνου περιιόντος, καὶ τοὔνομα ἔτι ἀναισχύντως περιϊσχομένου, ὥσπερ θαλλὸν, ἀφαιρεθεὶς τὴν συνήθη τροφήν, ἠγάπα συμπαρατρεφόμενος τοῖς βοσκήμασι. πρὶν δὲ ἀρχόντοιν τοῖν κορυφαίοιν ὁ μὲν τεθνηκὼς ἠπιστεῖτο, ὁ δὲ ζῶν, ἐπιστεύθη τεθνάναι. ταύτην τοίνυν τὴν οὕτω πολυειδῆ καὶ ποικίλην τραγῳδίαν μικροῦ μὲν ὅτι μέλλουσαν παραπέκλεισε τῆς ἐξόδου· ἐπεὶ δ' ἐχρῆν, ὡς ἔοικε, δῆλον γενέσθαι τὸ μέγεθος τῶν ἐπικρεμασθέντων κακῶν, ὥσπερ ἰατρῷ συνεχώρησεν ὁ θεὸς ἐν ἀκμῇ τῆς νόσου τὴν τέχνην ἐπιδείξασθαι. ἔτι γὰρ αὐτοῦ τὴν φύσιν ἐπικρύπτεσθαι πειρωμένου, καὶ αἰκάλλοντος καὶ περισαίνοντος ἅπαντας, εἰ συνέβη ταχεῖαν ἐπιλαβεῖν τὴν καταστροφήν, ἴσως ἂν ὁ κίνδυνος ἠγνοήθη, τὸν πλησίον ἀποστάντα ἀποτρέψασθαι. νῦν δὲ τοσαῦτα ἀτυχῆσαι συγχωρηθεὶς ὁπόσα θαρρῆσαι, ἔμελλεν ἐκφαίνειν τὸ κακόηθες καὶ δολερὸν καὶ ὑπο-

δεδυκὸς τῆς ψυχῆς, καὶ τοσοῦτον ἀπολαύσας τῆς ἐξουσίας ὅσον μὴ λαθεῖν οἷος ἦν, ἅμα τε ἠλέγχθη καὶ ἀνηρπάσθη, ὥσπερ χειμάρρους ἀθρόως μὲν αὐξηθεὶς, ἀθροώτερον δὲ ἐπιλιπὼν, αἰθρίας ἐπιφανείσης. καὶ οὕτως ἄρα σοι καὶ τὸ δυσχερέστατον τῶν συμβεβηκότων εἰς δέον τέθεικεν ὁ θεός, ὥστε οὐ μόνον ὅτι ἐκέρδανας τῆς μελλήσεως τὸ ταῖς ἐκείνου μοχθηρίαις ἐγκαλυφθῆναι, ἀλλ', ὃ καὶ τούτου μεῖζόν ἐστι, τὸ δὲ τὴν σὴν πραότητα φανερωτέραν γενέσθαι ἢ πρὶν συμπεσεῖν τὸν καιρὸν τὸν ταύτης δεόμενον τῆς ἐπιδείξεως. οὐ γὰρ ἐποιήσω τὸν θυμὸν δικαστὴν, οὐδὲ ἐμέτρησας τὴν τιμωρίαν τῷ μέτρῳ τῆς ὀργῆς, ἀλλ' ἐπιστήσας τῷ πάθει τὸν λόγον, καὶ τῶν νόμων ἐφάνης πραότερος, καὶ πανταχοῦ τοῖς γεγραμμένοις ἀκολουθῶν, ἔδειξας ἐν οἷς τοῦ παραβαίνειν τὰ γράμματα τὸ φυλάττειν βασιλικώτερον· καὶ διέκρινας τὸ ἀδίκημα καὶ ἁμάρτημα καὶ ἀτύχημα. καὶ γὰρ εἰ μὴ τὰ Πλάτωνος ἀποστοματίζεις, μηδὲ τὰ Ἀριστοτέλους μεταχειρίζῃ, ἀλλά τά γε ἐκείνοις δοκοῦντα τοῖς ἔργοις βεβαιοῖς. οὐ γὰρ τῆς ἴσης τιμωρίας ἀξίους ᾠήθης τούς τε ἐξ ἀρχῆς βουλεύσαντας τὴν ἐπανάστασιν καὶ τοὺς ὑπὸ τῶν ὅπλων παρασυρέντας, καὶ τοὺς ἤδη τῷ ἐδοκοῦντι κρατεῖν ὑποκύψαντας· ἀλλὰ τῶν μὲν κατέγνως, τοὺς δὲ ἐμέμψω, τοὺς δὲ συνηλέησας. τοσαύτη δέ ἐστιν ἡ τῆς πραότητος περιουσία, ὥστε ἀγανακτοῦμεν εἰ καὶ σμικρόν τις ἀνιαθεὶς τῶν τὰ ἔσχατα προσδοκώντων, καὶ δυσχεραίνομεν οὐκ εἰ παντάπασιν ἀρνήσαιτο τὴν συγγνώμην, ἀλλ' εἰ καὶ πρὸς μικρὸν ἀναβάλλοιο. πρῴην γὰρ ἀ * ἐκ τῶν βασιλείων πρὸς τὸ τέως ἐσκυθρωπακότες, καὶ τυχεῖν ὧν ἐλιπαρήσαμεν οὐκ ᾠόμεθα, οὐκ ἀνανεύσαντος, ἀλλ' ἀναθεμένου τὴν χάριν. αἴτιον δὲ οὐχ ἡ τῶν αἰτούντων ἀγνωμοσύνη, ἀλλ' ἡ τοῦ διδόντος φιλοτιμία, ἥμερον καὶ ἐκκεχυμένον τῆς ἀμινείας μᾶλλον ἐμφαίνεσθαι ποιεῖ τὸ μὴ τοῖς πολλοῖς παρα-

πλήσιεν. οὐ γὰρ ἐν τοῖς ἄγαν ῥερυπωμένοις ἀλλ' ἐν τοῖς ἄγαν κεκαθαρμένοις ἔκδηλον τὸ μόλυσμα γίνεται, κἂν σμικρότατον ᾖ. οὕτω τοι τῶν μὲν ὑπερβαλλόντων πικρίᾳ καὶ χαλεπότητι ἕν εἴ τι χρηστὸν πέπρακται, μνήμης τυγχάνει, τῶν δὲ φιλανθρωπίᾳ νικώντων ἕν εἴ τι παρεώραται, ἀνεξάλειπτον διαμένει. ἀεὶ γὰρ ἐν πλείονι καθίσταται λόγῳ τὸ παρ' ἐλπίδας. τοιγαροῦν Νέρωνος μὲν ἀοίδιμος ἡ πρὸς Μουσώνιον ἐπιείκεια· πρὸς Ἀλέξανδρον δὲ ὑπὲρ Καλλισθένους ἔτι καὶ νῦν ἀγανακτοῦμεν. καίτοι γε ὁ μὲν εἰς ἔργον ἐξεβίασε τὴν ὀργήν· ὁ δὲ ἐν οἷς μὴ παραχρῆμα ὑπεῖξας, ἑαυτοῦ στερεώτατος ἐνομίσθη. Περικλῆς μὲν οὖν ἐσεμνύνετο πρὸς Ἀθηναίους καταλύσαι τὰς ἔχθρας τῇ στρατηγίᾳ· σὺ δὲ τηλικαῦτα ἀδικηθεὶς, καὶ οὐκ ἐπίσης Περικλεῖ, τῆς ἐξουσίας τοῦ δημαγωγοῦ γέγονας ὦ αὐτοκράτορ ἐπιεικέστερος, καὶ διπλῆν ἐνίκησας νίκην. οὐ γὰρ μόνον τῶν πολεμησάντων ἀλλὰ τῶν συμπολεμησάντων κρείττων ἐφάνης, τῶν μὲν αἰτησάντων κρατήσας, πραΰνας δὲ τοὺς ὑβρισμένους· καὶ τοὺς μὲν ἀνδρίᾳ χρησάμενος, τῶν δὲ τὸν θυμὸν ἡμερώσας, καὶ μόνος ὁπόσον πολέμου νόσημα ἐμφύλιον διενήνοχε· καὶ ὅτι βαρβάρων μὲν ῥωμαίους ἄχρι παντὸς ἐπεξιέναι προσήκει, ῥωμαίοις δὲ μέτριον ἐπίκεισθαι κατὰ ῥωμαίων τὴν τοῦ πταίσματος ἐπανόρθωσιν. καὶ ὥσπερ σώματος ἑνὸς τὸ μέρος τὸ ἀρρωστῆσαν ὁ θεραπεύειν ἐῶν φαρμάκοις ἀποκόπτειν προαιρούμενος, οὐκ ἰᾶται τὸ σύμπαν, ἀλλ' ἀσθενέστερον ποιεῖ ὧν ἐλλείποντι· οὕτω καὶ τῆς ἀρχῆς μιᾶς οὔσης τῆς ὅλης ῥωμαίων, ὥσπερ πόλεως ἀκριβῶς ἅπαν γίνεται βλάβος ὃ βέλτιον ἔχειν ἐξὸν ζημιούμεθα. καίτοι χεῖρα, ἢ σκέλος, ἢ ἄλλο τι μέρος ποιῆσαι οὐ δυνατὸν ἐκ τῆς ἰατρείας ὑγιαίτερον ἢ πρίν τι παθεῖν ἀποφῆναι· ἀνὴρ δὲ ἐμμέτρου δίκης τυχὼν γένοιτ' ἂν ποτὲ καὶ βελτίων περὶ τὸν πράως προσενεχθέντα. ῥωμαῖοι Μασανάσσην τὸν Λίβυν, ἐπειδὴ πολλὰ κακὰ παρ' αὐτοῦ πεπονθότες, ζῶντα

κηρυχθέντα ἀφῆκαν ἑκόντες, οὔ φασιν ἀριθμητὰ εἶναι ὅσα Ῥωμαίους Μασανάσσης χρηστὰ εἰργάσατο. εὖ δὲ ἐποίει καὶ Σωκράτης τὸν παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦντα λόγον ἐπανορθῶν, ὅτι δεῖ τοὺς μὲν φίλους εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν. ἐπηνώρθου δὲ, τὸ μὲν φυλάττων, τὸ δὲ μεταγράφων· τὸ τοὺς μὲν φίλους εὖ ποιεῖν, μεταγράφων, τοὺς δὲ ἐχθροὺς κακῶς, ἐπιδιορθούμενος. τὸ μὲν γὰρ εὖ ποιεῖν ἐπῄνει, τὸ δὲ κακῶς, ἐπηνώρθου, τοὺς φίλους μὲν εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς μὴ κακῶς ποιεῖν, ἀλλὰ φίλους, μεταγράφων. καὶ πρὸς τὸν ἀπειλήσαντα, ἂν μή σε λαβὼν ἀποκτείνω, ἀντεπειλήσας, ἂν μή σε φίλον ποιήσω. εἰ δὲ τὴν πρᾳότητα ταύτην τελωνίῳ μέν φησί τις προσήκειν, ἀλουργίδι δὲ μὴ, ἀλλ' ἐγώ σοι καταριθμήσω καὶ τοὺς ἐνδοξοτάτους τῶν βασιλέων παραπλησίως Σωκράτει κεχρημένους. Φιλίππῳ τῷ Ἀμύντου κατεῖπέ τις σπουδῇ τῶν ταξιάρχων ὡς ἀπεχθῶς διακειμένου, καὶ ῥᾳδίως κακόν τι βουλεύσοντος, εἰ μὴ τάχιστα ἐκποδὼν γένηται. τί οὖν ὁ Φίλιππος; οὐκ εὐθὺς ἧκεν ἐπὶ τὸν σίδηρον, ἀλλὰ καὶ παρ' ἡμᾶς φησὶ τὸ αἴτιον τῆς ἀπεχθείας. ὁ γὰρ ἀνὴρ οὐχ ὁ φαυλότατος τῶν Μακεδόνων. καὶ τά τε ἄλλα ἐπιμελεῖται εὐθὺς τοῦ ἀνθρώπου, καὶ προῖκα ἐπιδίδωσι δεομένῳ θυγατέρας ὡραίας. καὶ μετὰ ταῦτα οὐδεὶς ἦν πιστότερος τῷ βασιλεῖ τῶν πάλαι κεκριμένων ἐπιτηδείων. ὡς εὐεργεσίη κακοεργίης μέγ' ἀμείνων. οὐ γὰρ ῥᾴδιον οὕτω τινὰ ἐν ἀνθρώποις ἄνθρωπον φῦναι, ὥστε παρ' οὗ τὰ ἔσχατα πείσεσθαι προσεδόκησε, τούτῳ χρηστῷ καὶ προσνείμαντί τι τιμῆς, οὐκ εὐθὺς εὔνουν γενέσθαι. ἀλλ' ὁ τὴν τιμωρίαν διαφυγὼν, ὅσῳ δικαιότερον ὦφλε, τοσούτῳ μᾶλλον ὑπόχρεως γίνεται τῷ συγχωρήσαντι. οὕτω δὲ Ἀλέξανδρος, Μέμνονα τὸν Δαρείῳ συστρατηγήσαντα ἀποκτιννύειν τινῶν κελευόντων, ἐπειδὰν ὡς τάχιστα κύριος γένηται, μηδαμῶς, ἔφη, ἀλλὰ ποιήσωμεν ἀντὶ φιλοδαρείου τὸν ἄνθρωπον φιλαλέξανδρον. καὶ οὕτω τὴν εἰς ἐκεῖνο

σπουδὴν εἰς ἡμᾶς μεταθήσεται. ταυτὸ δὲ τοῦτο καὶ ὁ Βοιώτιος στρατηγὸς, ἐπειδὴ Θηβαῖοι τῶν πόλεων ἐξελαύνειν ἐπεχείρουν τοὺς λακωνίζοντας, ἀλλ' οὐδεὶς, ἔφασκεν, ὦ Θηβαῖοι, τίκτεται φύσει φιλοθηβαῖος, ἢ φιλολακεδαιμόνιος, ἀλλ' ἕκαστος ἑαυτῷ ἁπανταχόθεν τὸ συμφέρον ἐπιζητεῖ, παρ' ὧν αἰ τὰ χρηστότερα προσδοκήσῃ, τούτοις ἑαυτὸν προσνέμει. ταύτην τοίνυν ἐμποιητέον τὴν ἐλπίδα τοῖς ὑπηκόοις, καὶ οὐ δεήσεσθε ὅπλων πρὸς τὸ ποιεῖν ἑαυτοῖς ἐπιτηδείους, ἀλλ' ὄψεσθε τὰ ὑμέτερα ἑκόντας αἱρουμένους. εἶεν. ἀλλ' οἱ μὲν παρὰ τοῖς ἕλλησιν ἀδόκιμοι τοῦτον τὸν τρόπον· οἱ δὲ ῥωμαίων αὐτοκράτορες πῶς ἅπαντες ὧν τὰ μεγάλα ὀνόματα, παραπλησίως σοι τοὺς ἠτυχηκότας μετεχειρίσαντο· Πομπήιος τοὺς Σερτωρίῳ συνεπαναστάντας, Καῖσαρ τοὺς Πομπηίῳ συμπολεμήσαντας, ὁ Σεβαστὸς τοὺς Αντωνίῳ συναποστάντας, Μάρκος τοὺς Κασσίῳ συναραμένους. τοὺς δὲ ἐφεξῆς καὶ ἐγγὺς ἡμῶν τούτοις λέγω, καὶ οὗτοι πάντες τῆς ἀνθρωπίνης φύσεως στοχαζόμενοι, ὅτι μηδὲν πρὸς εὔνοιαν ἐπαγωγότερον εὐεργεσίας, καὶ ὅτι βέλτιστον βασιλεῖ τὸ δι' εὔνοιαν ἐπισπᾶσθαι καὶ μὴ διὰ τὸν φόβον κρατεῖν. ἡ μὲν γὰρ ἑκόντων, ὁ δὲ ἀκόντων ποιεῖ κυρίους. καὶ δυνάμει μὲν εὔνοιαν οὐκ ἔστιν εὑρεῖν καταλυθεῖσαν, εὔνοια δὲ δυνάμεις πολλάς. ἰδιώτῃ μὲν τοίνυν οὐχ οὕτω ῥᾴδιον μετασκευάζειν οἰκειότητα τοὺς ἀπεχθῶς διακειμένους. ὅταν γὰρ ἐν ἴσῳ καθεστήκῃ τοῖς προσκεκρουκόσιν, οὔτε ἀφιεὶς τὴν ὀργὴν δηλός ἐστι, τῷ μὴ κεκτῆσθαι ἀναμφισβήτητον τοῦ τιμωρεῖσθαι τὴν ἐξουσίαν· οὔτε ὑπάρχων εὐεργεσίας, τῷ πολλάκις ἀδυνατεῖν, κἂν προαιρῆται. βασιλεῖ δὲ ἐκφανοῦς ὑπαρχούσης καὶ τοῦ βλάπτειν καὶ τοῦ ποιεῖν εὖ τῆς ῥαστώνης, εἰς τὴν ἀμείνω χώραν μεταθετέον ἀεὶ κατὰ τὴν ψῆφον ἐν τελείᾳ κειμένην ἐν τῇ φαυλοτέρᾳ, καὶ ποιεῖν τοὺς πρὶν ἐχθροὺς, πιστοὺς καὶ

οἰκείους

οἰκείους τῇ τῶν ἀγαθῶν χορηγίᾳ. καὶ ταῦτα ἐγὼ μεταμόρφωσιν βασιλικωτέραν νενόμικα ἧς μετεμόρφου Ξέρξης τὴν ἤπειρον καὶ τὴν θάλασσαν, καὶ ἧς ἡ Κίρκη τοὺς ἀνθρώπους, καὶ ἧς ἡ Μήδεια τὸ γῆρας, καὶ ἧς Αὐτόλυκος τὰ φώρια. οὐ γάρ ἐστι πρὸς τὴν φύσιν φιλονεικία, ἀλλὰ πρόσοδος ἀκριβὴς ἡ δύναμις αὕτη καὶ Ἑρμοῦ δῶρον, ψυχὰς ἐξ ἀγρίων ἡμέρους κατασκευάζειν, καὶ ἐξ ἀλλοτρίων ἐπιτηδείους. νῦν δὲ τοῦ χαλκὸν μὲν εἰς ἀργύρεον μεταβαλεῖν, καὶ τοῦ τὸ ἀργύρεον εἰς χρυσίον, ἀσμένως ἂν τινα ἐξεύροιμεν τέχνην. ᾧ δὲ ἔνεστιν ἀνθρώπους εἴτε ἀπὸ τύχης, εἴτε ἀπὸ γνώμης ἀφηνιάσαντας αὖθις χειροήθεις ποιῆσαι, ὅστις εἰ τὸ νουθετεῖν ἐάσας, τοῦ ἐπὶ καιροῦ λελυπηκότι ἀδιάλλακτα ἀγανακτοίη, καὶ τῷ βασιλεῖ προσήκοντος ἐπὶ πρόσθεν ἄγοι τὸ θυμῷ κεχαρισμένον, πῶς οὐκ ἂν ἀτοπώτερος εἴη τῶν ἡνιόχων, οἳ τὰς αὐθάδεις τῶν ἵππων οὐκ ἀποσφάττουσι παραχρῆμα, ἀλλὰ πρᾳοτέρους ποιήσαντες, χρῶνται βελτίοσι γεγενημένοις; ἔχω δέ σοι καὶ ἕτερον εἰπεῖν βασιλέα τοσαύτης μὲν οὐκ ἄρξαντα γῆς ὅσης Φίλιππος καὶ Ἀλέξανδρος, τῷ Πυθίῳ δὲ ὅμως παρασχόντα ἀμφισβήτησιν εἴτε θεὸν αὐτὸν προσρητέον, εἴτε ἄνθρωπον, Λυκοῦργον τὸν Σπαρτιάτην. οὗτος τοίνυν οὐκ εἰς χρήματα ζημιωθεὶς, ἀλλ' αὐτὸν ἐκκοπεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, νέου τινὸς ξύλῳ πατάξαντος ἐν ἐκκλησίᾳ, παραλαβὼν τὸν ἐκκόψαντα οἴκοι πῶς ἐτιμωρήσατο; πῶς ἠμύνατο; ἀντέκοψε μὲν καὶ αὐτὸς, ἀλλ' οὐ τὸν ὀφθαλμὸν τοῦ ἐκκόψαντος, ἀλλὰ τῆς ψυχῆς τὴν θρασύτητα, ἀντὶ μοχθηροῦ πολίτου χρηστὸν ἀποφήνας. διὰ τοῦτο ἄρα ὁ Πύθιος τῆς μὲν ψάμμου τὸν ἀριθμὸν οὐκ ἐδίσταζεν ὁπόση εἴη, οὐδὲ τῆς θαλάσσης τὰς χόας· τὸν δὲ βασιλέα τὸν οὕτω φρονοῦντα οὐκ εἶχεν ἀποφήνασθαι πότερον θεὸς ἢ ἄνθρωπος εἴη. σὺ δὲ οὐχ ἕνα ἐπραΰνας, ὥσπερ Λυκοῦργος, οὐδὲ ἕνα ἀντὶ ἐχθροῦ φίλον


ἐποίησας, ὥσπερ Ἀλέξανδρος, οὐδὲ τὸν δεῖνα λοιδορησάμενος προσηγάγου, ὥσπερ ἔναγχος ἀδοκιμήσας· ἀλλ' ἔξεστιν ἀριθμεῖν κατὰ φῦλα στρατηγοὺς χωρὶς ταξιάρχας χωρίς, λοχαγοὺς πολλούς, ἴλας πεζῶν, ἴλας ἱππέων, τοὺς ἐκ τῆς μεγάλης βουλῆς, οἷς εὖ οἶδ' ὅτι τοσούτοις οὖσι καὶ τηλικούτοις οὐκ εἰς μακρὰν τὸ ἐνδέον προσθήσεις. καὶ τότε ἔξεστί μοι μετὰ παρρησίας δικάσαι, δίζω ἤ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον· οὐχ ὅτι καὶ νῦν τινες χαλεπόν τι καὶ πέρα τοῦ μέτρου πεπόνθασιν, ἀλλ' ὅτι σὺ σαυτοῦ πεποίηκας καὶ τὰ εἴσω τοῦ μέτρου. καὶ ζητήσουσιν οἱ ἄνθρωποι οὐ τί τοῖς ὑπ' ἐκείνων πταίσμασιν ἀκόλουθον ἦν, ἀλλὰ τί τοῖς ὑπὸ σοῦ περὶ τοὺς λοιποὺς πεπραγμένοις· καὶ θαυμάζουσιν οὐχ ὅτι μὴ πάντες οἱ τὰ αὐτὰ πλημμελήσαντες τὴν αὐτὴν δεδώκασι δίκην, ἀλλ' ὅτι μὴ πάντες οἱ τὰ ἴσα ἐξαμαρτόντες τῆς ἴσης τετυχήκασι φιλανθρωπίας. ἐπεὶ τά γε πράγματα αὐτὰ καθ' ἑαυτὰ ἐξετάζοντι, ἐντιμότερον σὺ προσενήνεξαι τοῖς ἑαλωκόσιν, ἢ ἕτεροι τοῖς ὑπὲρ σφῶν ἀριστεύσασιν. οἶδας γε, ὡς ἔοικεν, ἀκριβῶς, ὅτι δεῖ μὲν καὶ θυμοῦ μέγεθος ἐνυπάρχειν τῷ βασιλεῖ, ἀλλὰ μέγαν ὄντα τὸν θυμὸν ὑπήκοον εἶναι προσήκει ὥστε εὐμετάπειστον εἶναι τῷ λόγῳ. τὸ δὲ ἅπαξ παραλλάξαντος ἀνακαλεῖσθαι τὴν ἀκμήν, οὐ μεγάλης ἀλλὰ καὶ πάνυ σμικρᾶς διανοίας, ὥσπερ μειρακίου τραῦμα ἀλύπως ἰαθὲν ἀναξαίνοντος καὶ διατρίβοντος ἐν τῷ βοᾶν, δέον τῷ φαρμάκῳ συγχωρήσαντα ἀπηλλάχθαι. φάρμακον δὲ ὀργῆς οἰδαινούσης τὸ μὲν αὐτίκα λόγος ἐστίν, ᾧ σὺ τηνικαῦτα ἐπραΰνας σφαδάζουσαν καὶ ζέουσαν ἔτι· τὸ μετὰ ταῦτα δὲ ὁ χρόνος ἰατρὸς ἤδη γίνεται καὶ τοῖς λίαν δυσμεταχειρίστοις. τὸ δὲ ὑπ' ἀμφοῖν ἀμείλικτον, ἔξω τῆς φύσεως ὑπολαμβάνοις τε τῆς θείας καὶ τῆς ἀνθρωπίνης. διό φησιν Ὅμηρος τοὺς μὲν ἄλλους θεοὺς βελτίους εἶναι τε παραιτητούς, τὸν δὲ Ἅδην μόνον ἀμείλικτον καὶ ἀδάμαστον. τοιγαροῦν μόνος αὐτοκρατόρων καὶ οἷς ἐπιεικέστερον προσηνέχθης, τούτοις χαλεπώ-

πρὸν τιμωρῆσαι, εἰς αἰσχύνην καὶ μεταμέλειαν καταστήσαις, καὶ τῇ παρ' ἑαυτῷ λύπῃ κολάσαις τοὺς πλημμελήσαντας, αἰδουμένους ἐξ ὧν οὐκ αὐτοὶ ἔπαθον κακῶς, οἷα ἠδίκησαν. χαλεπωτέρα γὰρ ἐλευθέρῳ λύπη τῆς διὰ τοῦ σώματος γινομένης ἡ διὰ τῆς αἰσχύνης ἐστί. σημεῖον δέ· τὰς μὲν γὰρ ὑπομένουσι καὶ ἐγκαρτεροῦσι, δι' αἰσχύνην δὲ προΐενται πολλάκις τὸν βίον. πῶς οὐχ ὑμνοῦσι τὴν ἀβουλίαν; πῶς οὐ στένουσι τὴν γοητείαν, οἷς αὐτοὶ οὐκ ἀφείλοντο παραβάντες, καὶ πειρώμενοι τοῦ ἠπίονος εἰς ὃν ἐξήμαρτον ἢ ὧν φενακισθέντες προσέθεντο; οὐδὲ γὰρ ἐν τοῖς κινδύνοις ἦν ἀνεκτὸς * ἀδύσας ποτὲ σμικρὸν ὑπὸ τῆς τύχης ἀνερριπίσθαι, τοῦ Ξέρξου παρῆκε τὴν ὀφρῦν, οὐ Καμβύσου τὴν παροινίαν, οὐδὲ ἀνδραπόδοις μετρίως χρώμενος τοῖς ὑπ' αὐτοῦ γεγονόσιν. ὃ δὲ μάλιστά μοι δοκεῖ τῆς ἐκείνου φύσεως δεῖγμα γεγενῆσθαι, τοῦτο οὐ πρὶν εἰπεῖν παύσομαι. φιλοσοφίαν τοίνυν, ὦ βασιλεῦ, ἅπαντες μὲν ᾐδέσθησαν, ὥσπερ τι πάτριον ἱερόν, οἱ σὺν νόμῳ τὰς βασιλείας διαδεξάμενοι· πολλοὶ δὲ καὶ συμπαρέλαβον ἐπιστάτας, καὶ τοῦ βίου σφῶν προεστήσαντο· οἷς ἐκτίνουσα τὰ γινόμενα χαριστήρια, ἀνεξάλειπτον αὐτῶν τὴν ἀγαθὴν μνήμην τῷ παντὶ χρόνῳ συμπαραπέμπουσα. καὶ γὰρ ὅστις ἔδοξεν οὐ περὶ πολλοῦ περιορᾶν ἀδικουμένην, οὐκ αὐτός τι κακὸν ἐργασάμενος, ἀλλ' ὅτι προσήκατο μόνον καὶ περιεῖδεν, ὅμως οὐκ ἀνταναφέρει τῇ λοιπῇ δόξῃ πρὸς ταύτην μόνην τὴν δυσφημίαν. ταύτης τοίνυν ἔτι μικροῦ περιασωζομένου λειψάνου, οὐκ ἔχων οὔτε μέγα οὔτε μικρὸν ἐγκαλέσαι, ἀλλ' ὅτι μόνον συνῄδει μὴ δυναμένην ἐπαινεῖν τῷ τολμήματι, οὐκ ἐφείσατο ὅσον ἐφ' ἑαυτῷ, οὐδὲ ὤκνησε ψῆφον ἐξενεγκεῖν, ἣν οἱ θεοὶ καλῶς ποιοῦντες ἔτρεψαν αὐτῷ παραχρῆμα εἰς τὴν κεφαλήν. ὁ τὸν πώγωνα καθειμένος, καὶ τοῦ φιλοσοφωτάτου τῶν βασιλέων μεταποιούμενος. ἀλλ' οὐχ ὑμεῖς οἱ τοῖς ὅπλοις ἐντεθραμμένοι, ἀλλ' εἰσκαλεῖσθε καὶ συμπαρεῖσθε, καὶ τῶν μεγίστων τιμῶν ἀξιοῦτε. καὶ τοῦτο μὲν ἐῶ. ἀλλὰ τὸν καθηγητὴν ἐκείνου

τοῦ αὐτοκράτορος διασῶσαι ἐθέλειν πρώτην τῶν στρατιωτῶν ὡρμημένων, ἐξελόμενοι προὔπτου θανάτου, ἐπειδὴ τὸν θυμὸν ἔδει παραμυθήσασθαι τῶν δικαίως ἀγανακτεῖν πεπιστευκότων, χρήμασι μόνοις ἐζημιώσατε. χρὴ γάρ, ὡς ἔοικεν, ἐξ ἀμφοῖν ὑμᾶς φιλοτιμεῖσθαι, καὶ δι' ὧν εὖ ποιεῖτε φιλοσοφίαν, καὶ δι' ὧν τὸ πάλιν κακῶς ἐξαιρεῖσθε· καὶ πᾶσι γίγνεσθαι φανερὸν ὅτι μήτε ἐκείνη ἡ ψῆφος τῆς ὑμετέρας κρίσεως ἦν, ἀλλὰ τοῦ κοινοῦ θορύβου καὶ τῆς συστάσεως, καὶ τῆς εἰωθυίας ἀπαντᾶν ἀγνωμοσύνης τοῖς ἐν παιδείᾳ διενεγκοῦσι. καὶ τούτου τεκμήριον ἐναργές. τὸν γὰρ ἐγκληθέντα, μὲν ὑπὸ τῶν αὐτῶν, πραοτέρᾳ δὲ χρησάμενον τῇ παρὰ τῶν πολλῶν δυσμενείᾳ, οὔτε τιμὴ παραχρῆμα ἀφῆκας. ἀλλ' ἱκανῶς ἔχει τῷ νεμεσήσαντι δαιμονίῳ εἴ τι καὶ πρότερον παρεώραται. ἀλλὰ τὰ νῦν γε ἄντικρυς τῆς Σωκράτους μεγαλοψυχίας οὐχ ἥρπασε τὸν καιρὸν βουλιμιῶν, οὐ συμπαρῆν ἔχθει τῇ φορᾷ τοῦ ἀλάστορος, οὐ ῥῆμα ἀφῆκεν ἀδικουμένου, ἀλλὰ τὴν ὀργὴν τοῦ ἐντίμως βασιλεύοντος τῆς φιλανθρωπίας αἰεὶ κατωτέραν ὑπέλαβε τοῖς νόμοις ἐπαναστάντος· ἀλλὰ μᾶλλον εἵλετο διακαρτερεῖν ἐν οἷς ἦν, ἢ τὰ παρόντα μεμψάμενος ἀπαλλάχθαι. τοιγαροῦν ἅπαντα ὁ μιαρὸς τἄλλα μετακινῶν, τὰς ἐκείνου συμφορὰς μόνας ἐφύλαξεν ἐπὶ χρήμασι. καίτοι εἰ καὶ πάνυ δικαίως καταψηφισθέντα ἠπίστατο, ἀλλ' ἑτέροις γε ἔδωκεν ἄδειαν πολλῷ δικαιότερον καταγνωσμένοις. νῦν δέ, ὡς ἔοικεν, οὐκ ἦν εἶκεν ὑπὸ τοῦ μάλιστα παρ' ἡμῶν τέχνην δοκοῦντος καλῶς παρορώμενος· δίκαιος οὖν ἀπολαῦσαι τῆς σῆς πραότητος ὁ τῆς ἐκείνου μὴ ἐθελήσας καλόν τι διασώσασθαι, τὰ ζώπυρα τῆς φιλοσοφίας. σημεῖον γὰρ βασιλείας εὐδαίμονος αὕτη ἡ τέχνη ἐπιδιδοῦσα, καὶ ἀνάγκη ἀρετὴν ἔντιμον εἶναι, παρ' οἷς φιλοσοφία σπουδῆς ἀξιοῦται. ἐν ᾗ δεῖ σε μνήμην ἀθάνατον καὶ ἀγήρω καταλιπεῖν. οὐ γὰρ μόνοι οἱ τὰς πόλεις

εὖ ποιοῦντες ἀθανάτους καταλείπουσι τὰς μνήμας, ἀλλὰ καὶ εἰ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων τιμῶντες. ἀεὶ γὰρ ἕως ἂν ᾖ γένος ἀνθρώπων, οὐκ ἐπιλείψουσιν οἱ περὶ τοὺς θεοπέροις τῶν λόγων φιλοχωροῦντες. ὥστε ἀνάγκη διαδόσιμον γενέσθαι τὴν φήμην τῶν καλῶς αὐτῇ προσενεχθέντων, εἰς ἅπαντα σχεδὸν τὸν αἰῶνα.

ΤΟΥ ΑΥΤΟΥ, ΕΠΙ ΤΗΣ ΕΙΡΗΝΗΣ, Οὐάλεντι. Λόγος δέκατος.



ΜΗΝ ἐγώ σοι κατακορὴς ἤδη καὶ πλήσμιος εἶναι, τοσαυτάκις ἔμπροσθεν διειλεγμένος. ὥστε δέδια ἔτι ἀπόκνων καὶ νῦν ποιήσασθαι πρόσοδον ἐπὶ τοῖς λόγοις, μὴ δόξαιμι διοχλεῖν οὐδὲν δεομένῳ. σὺ δ' ἐπειδὴ καὶ πάνυ προθυμούμενον ἠρεμεῖν οὐκ ἐᾷς, ἀλλ' ὥσπερ εἰς φορὰν ἐνιαύσιον φοιτᾶν οἴει σοι δεῖν καὶ τὴν ἐκ τῶν λόγων συντέλειαν, ἐκεῖνο μὲν ἀναγκαῖον, αὐτόθεν δὲ ἔστω μοι τὸ προοίμιον. οὔτε γὰρ ἄλλο τι πρότερον τῶν σῶν ἀγαθῶν ἀποδέχεσθαι προσήκει τοὺς λόγους ἢ τὴν περὶ ἑαυτοὺς προθυμίαν. καὶ δὴ ταῦτα ἐπαινῶ σου τοῦτο πρῶτον, ὦ βασιλεῦ, ὅτι τοῖς γεωργοῖς ἐπανιέναι προθυμῇ τὰ λειτουργήματα, τοῖς φιλοσοφοῦσι δὲ οὐ συγχωρεῖς. ἀλλὰ τοὺς μὲν ἡδέως ἂν ἴδοις καθ' ἕκαστον ἔτος ἔλαττον εἰσφέροντας ὧν προσήνεγκαν· παρὰ τῶν λόγων δὲ ἀεί τι πλεῖον εἰσπράττῃ. καὶ τό γε ἔτι τούτου θαυμασιώτερον, ὅτι καὶ τῶν λόγων αὐτῶν προτιμοτέρους ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων. αἴτιον δέ, οὐ γὰρ ἐκκρέμασαι τῶν ὀνομάτων, ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷς· οὐδὲ τοῦ κάλλους τῶν ῥημάτων ἑάλωκας, ἀλλὰ τοῦ κόσμου τῆς διανοίας.

τὰς ἐπωνυμίας νομοθετήσας. ἐπεὶ καὶ νῦν πρὸς μὲν τὸ κρατῆσαι τῶν πολεμίων ῥοπήν τινα συνεισήνεγκαν οἱ μεταχόντες σοι τοῦ κινδύνου· τὸ δὲ περισῶσαι τοὺς κρατηθέντας, τοῦ σοῦ μόνου πνεύματος ἤρτηται. δυοῖν τοίνυν ὄντοιν τοῖν εἰρημένοιν, τοῦ τε νικᾶν καὶ τοῦ τῇ νίκῃ χρῆσθαι δεόντως, καὶ τοῦ μὲν κοινοῦ πρὸς τὰ ὅπλα, τοῦ δὲ τῷ βασιλεῖ μόνῳ προσήκοντος, οὕτω τὸ σὸν τιμιώτερον ὥστε καὶ ὁ τοῦ κοινοῦ καρπὸς εἰς τὸ σὸν ἴδιον περιΐσταται. νίκης γὰρ ὄφελος οὐδὲ ἓν τοῖς καλῶς αὐτῇ μὴ διενεγκοῦσιν, ἀλλὰ καὶ τοὐναντίον πολλάκις εἰς βλάβην καθίστη τοῖς ἀτυχήσασι. καὶ τί ποτέ ἐστιν ἕτερον ἡ Καδμεία νίκη, ἢ ὅταν τινὲς ὑπὸ τῆς νίκης ὥσπερ μέθης κατακλυσθέντες, ἀγνοήσωσι τὸ μέτρον τῆς τοῦ κρατεῖν ἀπολαύσεως, καὶ τελευτήσῃ τὸ κέρδος αὐτοῖς εἰς ζημίαν χαλεπωτέραν; οὕτω γὰρ αὐτοί τε ἔπραξαν οἱ τότε Καδμεῖοι, καὶ ὁ μετὰ ταῦτα χρόνος ἐνεπλήσθη τοῦ παραδείγματος. ὀρθῶς ἄρα ὁ Θηβαῖος Ἐπαμινώνδας μετὰ τὴν ἐν Λεύκτροις μάχην μόνος Θηβαίων ἐσκυθρωπακὼς περιῄει· καὶ πρὸς τὸν ἐρόμενον τὴν αἰτίαν, νῦν γὰρ, ἔφη, ἐμοὶ νήφειν καιρὸς, ὅτε τοὺς ἄλλους μεθύειν ἀνάγκη. καὶ οὐδὲ χρήματα εἰσεπράξατο τοὺς αἰχμαλώτους, ἀλλὰ καὶ τὸν ὑπασπιστὴν αἰσθόμενος τῆς φάλαγγος ἀπεσείσατο. Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου πλείονος δόξης τοῦ νικᾶν αἴτιον ἦν ἀεὶ τὸ μετριάζειν ἐπὶ ταῖς νίκαις. οὗ γε καὶ Πῶρον τὸν Ἰνδὸν οὐχ ὑφιέμενον ἐν τῇ μάχῃ, ἀλλ' ἄχρι τῶν ἐσχάτων ἐγκαρτερήσαντα, παρεθέντα τε ὑπὸ πλήθους τραυμάτων, ζῶντα λαβὼν, ἤρετο αὐθὺς ἐν τῷ μέσῳ, πῶς σοι ὦ Γῶρε χρήσομαι; ἀποκριναμένου δὲ ὅτι βασιλικῶς, αὖθις ἤρετο, πῶς καὶ ἑτέρως; τοῦ δὲ φήσαντος ἐν τῷ βασιλικῶς πάντα εἶναι, οὐχ ἧττον ἠγάσθη τὸν ἄνδρα τῆς ἀποκρίσεως ἢ τῶν τραυμάτων, γνοὺς ὅτι πάντα ἔνεστιν ἀτεχνῶς ἐν τῷ βασιλικῶς ὧν ἐδεῖτο. ἐδεῖτο δὲ τὸ

Καδμεία νίκη

φιλανθρώπως, αἰδημόνως, πράως, μειλίχως μᾶλλον πρὸς τὴν παροῦσαν εὐτυχίαν, ἀνεπιφθόνως, μεμνημένον μάλιστα πρὸ πάντων τῆς περὶ τὴν τύχην ἀπίστου ῥοπῆς. ταῦτα γὰρ ἅπαντα δι' ἑνὸς τοῦ ὑπὸ ῥήματος συλλαβὼν ὁ μὲν Πῶρος ᾔτησεν, ὁ δὲ Ἀλέξανδρος ἔπραξε, καὶ οὐκ ἠρνήσατο. οὐδὲ γὰρ οἷός τε ἦν. βασιλέα γὰρ ἀξιοῦντα εἶναι πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων, ἔπειτα ἐξαρνεῖσθαι πρᾶξαί τι βασιλικῶς, αἰσχρὸν ἦν καὶ μαχόμενον πρὸς τοὔνομα. ἐπεὶ καὶ ἰατροῦ τί ἂν εἴη γελοιότερον ἀρνουμένου τι ποιῆσαι περὶ τὸν ἀρρωστοῦντα ἰατρικῶς; καὶ μουσικοῦ δυσχεραίνοντος πρὸς τὸ μουσικῶς; ἑκάστου γὰρ, οἶμαι, τεχνίτου ἡ περὶ τὴν τέχνην πρᾶξις ἀλλότριον δείκνυσι τὸν πράξαντα τοῦ προσρήματος. ἔοικεν οὖν καὶ κατὰ Πῶρον καὶ Ἀλέξανδρον ταὐτὸν εἶναι τὸ βασιλικῶς τῷ μεγαλοπρεπῶς καὶ φιλοδώρως καὶ τῷ λαβόντι κεχαρισμένως. ἐπεὶ οὖν τοῖν δυοῖν ζηλωτότερος ὁ δεηθεὶς καλῶς ἢ ὁ συγχωρήσας, δῆλον ὅτι ὁ μὲν θεῖος ἔπαινος, ὁ δὲ ἀνθρώπινος. ἤδη οὖν ποτε ἤκουσας Ἡσιόδου τοῦ ποιητοῦ ὅτι ἄλλοι μὲν ἄλλα σαφῶς κλῶνται παρὰ τῶν θεῶν, Ἐκ μὲν Μουσάων „ καὶ Ἀπόλλωνος ἑκάτοιο κιθαριστάς τε εἶναι καὶ ποιητάς, ἐκ δὲ „ Διὸς βασιλῆας. καὶ ὁρῶμεν Ὅμηρον καὶ Ἡσίοδον καὶ τοὺς „ τῶν Ἑλλήνων ἀρχηγέτας. ἀλλ' ἐγώ ποτε ἐπῃσθόμην καὶ τῶν ἀσσυρίων γραμμάτων ταὐτὸ τοῦτο κεμψευσμένον, ὡς ἄρα ὁ νοῦς τοῦ βασιλέως ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖται, καὶ δεῖ τὸν κίνδυνον ὁρᾶν, πηλίκος αὐτῷ πρὸς ἀλλοτρίαν τοῦ θεοῦ πρᾶξιν ὁρμήσαντι, ἐκπεσεῖν τῆς χειρὸς τῆς φυλαττούσης. οὐ γὰρ σοὶ μόνον ὦ βασιλεῦ, ἅγια προσήκει φρονεῖν, ἀλλὰ καὶ τοῖς πρὸς σὲ διαλεγομένοις ἅγια φθέγγεσθαι, ὡς ἑκάστου ῥήματος τοῦ εἰς τὰς σὰς ἀκοὰς ἐμπίπτοντος εἰς τὴν ἀκήρατον ἐκείνου παλάμην ἐγγραφομένου. διὰ ταῦτα τοίνυν, ὦ θεοφιλέστατε αὐτοκράτορ, τὸν ἀρχαῖον ἐκεῖνον τυφῶ

τα λίαν ἀναιμακτὶ κατειργάσω, ὅτι σοὶ χρηστὰ εὐποιοῦντι τὴν
χεῖρα συνεπιδέδωκεν ὁ θεός. οὐδὲ ἔμελλεν, ὡς ἔοικεν, ἀποπλη-
σθεὶς τὴν σπουδὴν τοῦ παλαμναίου. σπουδὴ δὲ ἦν ἄρα καὶ προ-
θυμία τῆς μιαρᾶς ἐκείνης καὶ κακοδαίμονος κεφαλῆς, εἰς τὸν
ἑαυτῇ μόνῃ πρέποντα ὄλεθρον ὡς πλείστους συνεπισπάσα-
σθαι τῶν πολλῶν. οὐδὲ ὑπηρέτης ποτὲ χρηστὸς ὠνομάσθη, ἀλ-
λα βάσκανος, ἀλιτήριος, ἀεὶ συγκεκυφὼς, ἀεὶ συννεφὴς, ἐ-
φελκόμενος τὰς ὀφρῦς, τὴν σιωπὴν ὥσπερ τι σεμνὸν μετιὼν, ἄμι-
κτος, ἀποτρόπαιος, ἀηδίας μεστὸς, ἐπὶ τῷ μισεῖν ἅπαντας καὶ
πρὸς ἁπάντων μισεῖσθαι μεγαλαυχούμενος. καίτοι Φάλα-
ρις καὶ Ἀριστόμαχος καὶ Ἀπολλόδωρος καὶ Διονύσιος εἶχον ἄν
τινα ἕκαστος παραστήσασθαι καὶ ἀγαπῶντα καὶ ἀγαπώμενον. οὐδὲ
γὰρ τοὺς ἔχεις οὐδὲ τοὺς σκορπίους ἡ φύσις ἔξω πεποίηκε παν-
τελῶς τοῦ ἐρᾶν καὶ τοῦ ἀντερᾶσθαι, ἀλλ' εἰ καὶ πρὸς ἀνθρώ-
πους κατεσκεύασται δυσμενῶς, τῆς πρὸς τὰ σύμφυλα φι-
λίας οὐκ ἀπήλλακται. ἀλλ' ἔοικε καὶ ὁ παλαιὸς λόγος ἀληθὴς
εἶναι λίαν καὶ τῆς ἀρχαίας φιλοσοφίας, ὡς ἄρα κατὰ χρόνους
τινὰς ὡρισμένους ποτὲ μὲν ἀκήρατοι καὶ θεῖαι δυνάμεις ἐπ'
ἀγαθῷ τῶν ἀνθρώπων ἐμβατεύουσι τὴν γῆν, ἐκ τοῦ οὐ-
ρανοῦ κατιοῦσαι, (οὐχ ἠέρα ἑσσάμεναι, καθ' Ἡσίοδον, ἀλλὰ
σώματα ἀμφιεσάμεναι παραπλήσια τοῖς ἡμετέροις, καὶ βίον
ὑποδῦσαι ἥττω τῆς φύσεως, ἕνεκεν τῆς πρὸς ἡμᾶς κοινω-
νίας) ποτὲ δὲ ἔμπληκτοι καὶ ἀλλόκοτοι, καὶ κακοῦ τινος καὶ
ἐριννύων θρέμματα καὶ γεννήματα ἐπὶ λύμῃ καὶ ζημίᾳ
καὶ ἀπάτῃ δειλαίων ἀνθρώπων, θηρίων ἐρῶντες καὶ σπαρα-
γμῶν, αἱμοφαγῆς ἀκορεῖς, δάκρυσι πιαινόμενοι, αἵ τε σεισμῶν,
αἵ τε λοιμῶν, αἵ τ' ἐπικλύσεως ἐπικόπτειν τὴν γῆν πεπαυμέ-
νοι ὁπηνίκα ἂν ἀθηνῆται. θέασαι γὰρ ἐκ τῶν ἔναγχος τούτων
ὦ βασιλεῦ, ἄρτι καθεστηκυίας τῆς ῥωμαίων ἀρχῆς καὶ γαλήνης
λαμπρᾶς ἐφ' ἅπασαν τὴν γῆν πεταμένης, ὥσπερ σώματος τὰ

ἔξωθεν ὑγιαίνοντος ῥῆμα ὕπουλον ὑποτρεφόμενοι ἐν τῷ βάθει περὶ τὸ κυριώτατον τῶν μερῶν ἀπεσήμαινεν. ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον παννύχιοι, καὶ οὐδ᾽ αὖ εἰς Δία ἴσως ἡ κωμῳδία οὐ τηνικαῦτα ἀποδρᾶσιν ὑπεξείλετο. οὐ γὰρ ἂν περιεῖδεν ἐργαστήριον τοιχωρύχων ἐπὶ κακῷ τῆς οἰκουμένης ἐγρηγορός. κἄπειτα μεθυούσης τῆς νυκτὸς οἱ μὲν ἐξαίφνης ἤγοντο, οἱ δὲ ἐφέροντο· τῶν δὲ τὰς διαίτας κατελάμβανον στρατιῶται. οἱ δὲ τῶν σκιμπόδων εἰς δεσμωτήρια συνηρπάζοντο· τοῖς δὲ οἱ σκίμποδες ἐγίνοντο αἱ τῶν ξύλων. ἀρχαὶ δὲ αἱ μέγισται μετά γε τῆς ἡμετέρας, ἐν μοίρᾳ κακούργων ἦσαν συνειλημμέναι. ἡ δὲ παννυχὶς ἦν ἀγρία τῆς τότε νυκτός. καὶ Ὅμηρος μὲν ὄναρ κακὸν ἐπιστῆναί φησι τοῖς τῶν Ἑλλήνων κατασκόποις, τοῖς ἀπὸ Θρᾴκης νεήλυσι στρατιώταις· τηνικαῦτα δὲ οὐ συμπάσῃ μόνῃ τῇ Θρᾴκῃ, ἀλλὰ καὶ ταῖς ἠπείροις ὄναρ σχεδὸν ἀμφοτέραις κακὸν ἐπέστη, μᾶλλον δὲ ἐν καιρῷ ὀνείρατος ὕπαρ. κἄπειτα ἐπέμπινεν ἐκ βασιλείου ἐν ἀσπίδι καὶ δορατίῳ, περιδέραια περικείμενος, περίσημος αὐτοκράτωρ, περισεσηρώς, ἅπαντας περισκαλύμενος, μειδιῶν μειδίαμα δολερόν, μειδίαμα θρήνων μεστόν, μειδίαμα ἄρξαν πολλῶν δακρύων· αἴπηκες τὰ Πλάτωνος τοῦ θεσπεσίου καὶ ἅ φησιν ἐκεῖνος προδεικνύναι τοὺς τυράννους ἐν τοῖς προοιμίοις, χρεῶν ἀποκοπάς, γῆς ἀναδασμούς, τὴν ἐπὶ Κρόνου καὶ Ῥέας εὐδαιμονίαν, πικρὰ δελεάσματα τοῖς ὑπὸ τούτων ἁλισκομένοις. καὶ θησαυροφυλάκια μὲν ἀνεπετάννυντο, λιμένες δὲ ἀνεφράγνυντο καὶ νεώρια. πολιορκία δὲ ἔσω τείχους περιειστήκει τὴν πόλιν, ἔξωθεν προκαθημένων τῶν σώζειν προαιρουμένων. εἶτα ἐπίστευε τὰ χαλεπώτερα μηχανήματα ὧν αὐτὸς ἦν τέκτων καὶ μηχανορράφος, ταῖς ἀτόποις φήμαις καὶ τοῖς ἀγγέλοις τοῖς ἐκ τῶν ἐργαστηρίων κεκονιαμένοις, τοὺς μὲν ἐξ Ἰλλυριῶν, τοὺς δὲ ἐξ Ἰταλίας, τοὺς δὲ ἐξ ὠκεανοῦ τοῦ ἑσπερίου,

πρεσβεῖαι δὲ εἰσεκαλοῦντο εἰς τὰ βασίλεια σύρων, ἀσσυρίων, αἰγυπτίων, λιβύων, ἰβήρων, ὥσπερ διαπλάσαι ἐξαίφνης ἐκ τῶν ἐσχάτων τῆς οἰκουμένης. καὶ τούτοις ἢ πάνυ πιστεύειν ἐχρῆν, ἢ πάνυ δεδιέναι. λαθεῖν γὰρ οὐκ ἐνῆν, οὐ δεδεμένους, οὐ σιωπῶντας, οὐ στένοντας, οὐ μειδιῶντας· ἀλλ᾽ ἐπεφαίνοντο ἑκασταχοῦ, μᾶλλον δὲ συμπαρῆσαν ἀεὶ κατάσκοποι, ὠτακουσταί, Ἄργου πλείονας ἔχοντες ὀφθαλμοὺς, Λυγκέως ὀξυωπέστεροι· καὶ τὴν μὲν σεμνὴν γερουσίαν εἰσεπράξατο εἰσφορὰς πολυστενάκτους, οὐκ οἶδ᾽ ὅπως ἐνιαυτοῦ, μᾶλλον δὲ χειμῶνος ἑνός, οὐχ ἑορτῆς χρόνον, ὥσπερ Νέρων, τὸν τῶν ὀλυμπίων μετατιθεὶς καὶ μεταβάλλων, ἀλλὰ τὸ εἰς πέρυσι καὶ τὸ εἰς νέωτα, τὸν ἕνα τε τὸν αὐτὸν μῆνα στενοχωρῶν ταῖς εἰσπράξεσιν. ὁ δὲ Κωνσταντίου δῆμος ὁ τρυφῶν, ὁ ἐν ἀδείᾳ ζῶν, ἐκ κακῶν ἀπείρατος μέχρι τῆς ἑσπέρας ἐκείνης, ὃν σὺ παρὰ τῶν ἐκείνου κληρονόμων διαδεξάμενος, οὐκ εἴασας αἰσθέσθαι τῆς τοῦ γένους μεταβολῆς, ὑπὸ τοῦ Κωνσταντίνου προσιόντος, τε σῶμα ἔτι ἀναισχύντως περιϊσχομένου, ὥσπερ θαλλόν, ἀφαιρεθεὶς τὴν συνήθη τρυφήν, ἠγάπα συμπαρατρεφόμενος τοῖς βοσκήμασι. τοῖν δὲ ἀρχόντοιν τοῖν κορυφαίοιν ὁ μὲν τεθνηκὼς ἠπιστεῖτο, ὁ δὲ ζῶν, ἐπιστεύθη τεθνάναι. ταύτην τοίνυν τὴν οὕτω πολυειδῆ καὶ ποικίλην τραγῳδίαν μικροῦ μὲν ἐπιμέλλουσαν προαπέκλεισε τῆς ἐξόδου· ἐπεὶ δ᾽ ἐχρῆν, ὡς ἔοικε, δῆλον γενέσθαι τὸ μέγεθος τῶν ἐπικρεμασθέντων κακῶν, ὥσπερ ἰατρῷ συνεχώρησεν ὁ θεὸς ἐν ἀκμῇ τῆς νόσου τὴν τέχνην ἐπιδείξασθαι. ἔτι γὰρ αὐτοῦ τὴν φύσιν ἐπικρύπτεσθαι πειρωμένου, καὶ αἰκάλλοντος καὶ περισαίνοντος ἅπαντας, εἰ συνέβη ταχεῖαν ἐπιλαβεῖν τὴν καταστροφήν, ἴσως ἂν ὁ κίνδυνος ἠγνοήθη, τὸν πλησίον ἀποστάντα ἀποτρέψασθαι. νῦν δὲ τοσαῦτα ἀτυχῆσαι συγχωρηθεὶς ὁπόσα θαρρήσας, ἔμελλεν ἐκφαίνειν τὸ κακόηθες καὶ δολερὸν τε ὑπο-

δεδυκὸς τῆς ψυχῆς, καὶ τοσοῦτον ἀπολαύσας τῆς ἐξουσίας
ὅσον μὴ λαθεῖν οἷος ἦν, ἅμα τε ἠλέγχθη καὶ ἀνηρπάσθη,
ὥσπερ χειμάρρους ἀθρόως μὲν αὐξηθεὶς, ἀθροώτερον δὲ ἐπι-
λιπὼν, αἰθρίας ἐπιφανείσης. καὶ οὕτως ἄρα σοι καὶ τὸ δυσ-
χερέστατον τῶν συμβεβηκότων εἰς δέον τέθηκεν ὁ θεὸς, ὥστε
οὐ μόνον τοῦτο ἐκέρδανας τῆς μελλήσεως τὸ τὰς ἐκείνου μοχθη-
ρίας ἐκκαλυφθῆναι, ἀλλ', ὃ καὶ τούτου μεῖζόν ἐστι, τὸ καὶ τὴν
σὴν πρᾳότητα φανερωτέραν γενέσθαι ἢ πρὶν συμπεσεῖν τὸν
καιρὸν τὸν ταύτης δεόμενον τῆς ἐπιδείξεως. οὐ γὰρ ἐποιήσω
τὸν θυμὸν δικαστὴν, οὐδὲ ἐμέτρησας τὴν τιμωρίαν τῷ μέτρῳ
τῆς ὀργῆς, ἀλλ' ἐπιστήσας τῷ πάθει τὸν λόγον, καὶ τῶν νόμων
ἐφάνης πρᾳότερος, καὶ πανταχοῦ τοῖς γεγραμμένοις ἀκολου-
θῶν, ἔδειξας ἐν οἷς τοῦ παραβαίνειν τὰ γράμματα τὸ φυ-
λάττειν βασιλικώτερον· καὶ διέκρινας τὸ ἀδίκημα καὶ ἁ-
μάρτημα καὶ ἀτύχημα. καὶ γὰρ εἰ μὴ τὰ Πλάτωνος ἀποστομα-
τίζεις, μηδὲ τὰ Ἀριστοτέλους μεταχειρίζῃ, ἀλλὰ τά γε ἐκεί-
νοις δοκοῦντα τοῖς ἔργοις βεβαιοῖς. οὐ γὰρ τῆς ἴσης τιμωρίας
ἀξίους ᾠήθης τούς τε ἐξ ἀρχῆς βουλεύσαντας τὴν ἐπανάστασιν
καὶ τοὺς ὑπὸ τῶν ὅπλων παρασυρέντας, καὶ τοὺς ἤδη τῷ δο-
κοῦντι κρατεῖν ὑποκύψαντας· ἀλλὰ τῶν μὲν κατέγνως, τοὺς
δὲ ἐμέμψω, τοῖς δὲ συνήλγησας. τοσαύτη δέ ἐστιν ἡ τῆς πρᾳ-
ότητος περιουσία, ὥστε ἀγανακτοῦμεν εἰ καὶ σμικρόν τις
ἀνιαθεὶς τῶν τὰ ἔσχατα προσδοκώντων, καὶ δυσχεραίνομεν
οὐκ εἰ παντάπασιν ἀρνήσαιτο τὴν συγγνώμην, ἀλλ' εἰ καὶ πρὸς
μικρὸν ἀναβάλλοιτο. πρῴην γὰρ ἀ * ἐκ τῶν βασι-
λείων πρὸς τὸ τέως ἐσκυθρωπακότες, καὶ τυχεῖν ὧν ἐλιπα-
ρήσαμεν οὐκ ᾠόμεθα, οὐκ ἀνανεύσαντος, ἀλλ' ἀναθεμένου
τὴν χάριν. αἴτιον δὲ οὐχ ἡ τῶν αἰτούντων ἀγνωμοσύνη, ἀλλ'
ἡ τοῦ διδόντος φιλοτιμία, ἥμερον καὶ ἐκκεχυμένον τῆς εὐμε-
νείας μᾶλλον ἐκφαίνεσθαι ποιεῖ τὸ μὴ τοῖς πολλοῖς παρα-

ληφθέντα ἀφῆκαν ἑκόντες, οὐ φασιν ἀριθμητὰ εἶναι ὅσα Ῥωμαίους Μασσανάσσης χρηστὰ εἰργάσατο. εὖ δὲ ἐποίει καὶ Σωκράτης τὸν παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦντα λόγον ἐπανορθῶν, ὅτι δεῖ τοὺς μὲν φίλους εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν. ἐπηνώρθου δέ, τὸ μὲν φυλάττων, τὸ δὲ μεταγράφων· τὸ τοὺς μὲν φίλους εὖ ποιεῖν, μεταγράφων, τοὺς δὲ ἐχθροὺς κακῶς, ἐπιδιορθούμενος. τὸ μὲν γὰρ εὖ ποιεῖν ἐτήρει, τὸ δὲ κακῶς, ἐπηνώρθου, τοὺς φίλους μὲν εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς μὴ κακῶς ποιεῖν, ἀλλὰ φίλους μεταγράφων. καὶ πρὸς τὸν ἀπειλήσαντα, ἂν μή σε λαβὼν ἀποκτείνω, ἀντεπειλήσας, ἂν μή σε φίλον ποιήσω. εἰ δὲ τὴν πραότητα ταύτην τελωνίῳ μὲν φήσαι τις προσήκειν, ἀλουργίδι δὲ μή, ἀλλ' ἐγώ σοι καταριθμήσω καὶ τοὺς ἐνδοξοτάτους τῶν βασιλέων παραπλησίως Σωκράτει γεγενημένους. Φιλίππῳ τῷ Ἀμύντου κατεῖπέ τις σπουδῇ τῶν ταξιάρχων ὡς ἀπεχθῶς διακειμένου, καὶ ῥᾳδίως κακόν τι βουλεύσοντος, εἰ μὴ τάχιστα ἐκποδὼν γένηται. τί οὖν ὁ Φίλιππος; οὐκ εὐθὺς ἧκεν ἐπὶ τὸν σίδηρον, ἀλλὰ καὶ παρ' ἡμᾶς φησὶ τὸ αἴτιον τῆς ἀπεχθείας. ὁ γὰρ ἀνὴρ οὐχ ὁ φαυλότατος τῶν Μακεδόνων. καὶ τά τε ἄλλα ἐπιμελεῖται εὐθὺς τοῦ ἀνθρώπου, καὶ προῖκα ἐπιδίδωσι δεομένῳ θυγατέρας ὡραίας. καὶ μετὰ ταῦτα οὐδεὶς ἦν πιστότερος τῷ βασιλεῖ τῶν πάλαι κεκριμένων ἐπιτηδείων. ὡς εὐεργεσίη κακοεργίης μέγ' ἀμείνων. οὐ γὰρ ῥᾴδιον οὕτω " τινὰ ἐν ἀνθρώποις ἄνθρωπον φῦναι, ὥστε παρ' οὗ τὰ ἔσχατα πείσεσθαι προσεδόκησε, τούτῳ χρηστῷ καὶ προσνείμαντι τι τιμῆς, οὐκ εὐθὺς εὔνουν γενέσθαι. ἀλλ' ὁ τὴν τιμωρίαν διαφυγών, ὅσῳ δικαιότερον ὦφλε, τοσούτῳ μᾶλλον ὑπόχρεως γίνεται τῷ συγχωρήσαντι. οὕτω δὲ Ἀλέξανδρος, Μέμνονα τὸν Δαρείῳ συστρατηγήσαντα ἀποκτιννύειν τινῶν κελευόντων, ἐπειδὰν ὡς τάχιστα κύριος γένηται, μηδαμῶς, ἔφη, ἀλλὰ ποιήσωμεν ἀντὶ φιλοδαρείου τὸν ἄνθρωπον φιλαλέξανδρον. καὶ οὕτω τὴν εἰς ἐκεῖνα

σπουδὴν εἰς ἡμᾶς μεταθήσεται. ταυτὸ δὲ τοῦτο καὶ ὁ Βοιώτιος στρατηγὸς, ἐπειδὴ Θηβαῖοι τῶν πόλεων ἐξελαύνειν ἐπεχείρουν τοὺς λακωνίζοντας, ἀλλ' οὐδεὶς, ἔφασκεν, ὦ Θηβαῖοι, πέπαται οὔτε φιλοθηβαῖος, ἢ φιλολακεδαιμόνιος, ἀλλ' ἕκαστος ἑαυτῷ ἁπανταχόθεν τὸ συμφέρον ἐπιζητεῖ, παρ' ὧν ἂν τὰ χρηστότερα προσδοκήσῃ, τούτοις ἑαυτὸν προσνέμει. ταύτην τοίνυν ἐμποιητέον τὴν ἐλπίδα τοῖς ὑπηκόοις, καὶ οὐ δεήσεσθε ὅπλων πρὸς τὸ ποιεῖν ἑαυτοῖς ἐπιτηδείους, ἀλλ' ὄψεσθε τὰ ὑμέτερα ἑκόντας αἱρουμένους. εἶεν. ἀλλ' οἱ μὲν παρὰ τοῖς ἕλλησιν εὐδόκιμοι τοῦτον τὸν τρόπον· οἱ δὲ ῥωμαίων αὐτοκράτορες πῶς ἅπαντες ὧν τὰ μεγάλα ὀνόματα, παραπλησίως σοι τοὺς ἠτυχηκότας μετεχειρίσαντο· Πομπήιος τοὺς Σερτωρίῳ συνεπαναστάντας, Καῖσαρ τοὺς Πομπηίῳ συμπολεμήσαντας, ὁ Σεβαστὸς τοὺς Ἀντωνίῳ συναποστάντας, Μάρκος τοὺς Κασσίῳ συναραμένους. τοὺς δὲ ἐφεξῆς καὶ ἐγγὺς ἡμῶν τούτοις λέγω, καὶ οὗτοι πάντες τῆς ἀνθρωπίνης φύσεως στοχαζόμενοι, ὅτι μηδὲν πρὸς εὔνοιαν ἐπαγωγότερον εὐεργεσίας, καὶ ὅτι βέλτιστον βασιλεῖ τὸ δι' εὔνοιαν ἐπισπᾶσθαι καὶ μὴ διὰ τὸν φόβον κρατεῖν. ὁ μὲν γὰρ ἑκόντων, ὁ δὲ ἀκόντων ποιεῖ κυρίους. καὶ δυνάμει μὲν εὔνοιαν οὐκ ἔστιν εὑρεῖν καταλυθεῖσαν, εὔνοια δὲ δυνάμεις πολλάς. ἰδιώτῃ μὲν τοίνυν οὐχ οὕτω ῥᾴδιον μετασκευάζειν οἰκειότητα τοὺς ἀπεχθῶς διακειμένους. ὅταν γὰρ ἐν ἴσῳ καθεστήκῃ τοῖς προσκεκρουκόσιν, οὔτε ἀφιεὶς τὴν ὀργὴν δῆλός ἐστι, τῷ μὴ κεκτῆσθαι ἀναμφισβήτητον τοῦ τιμωρεῖσθαι τὴν ἐξουσίαν· οὔτε ὑπάρχων εὐεργεσίας, τῷ πολλάκις ἀδυνατεῖν, κἂν προαιρῆται. βασιλεῖ δὲ ἐκφανοῦς ὑπαρχούσης καὶ τοῦ βλάπτειν καὶ τοῦ ποιεῖν εὖ τῆς ῥᾳστώνης, εἰς τὴν ἀμείνω χώραν μεταθετέον ἀεὶ καθάπερ ψῆφον ἐν πεττείᾳ κειμένην ἐν τῇ φαυλοτέρᾳ, καὶ ποιεῖν τοὺς πρὶν ἐχθροὺς, πιστοὺς καὶ

οἰκείους

οἰκείους τῇ τῶν ἀγαθῶν χορηγίᾳ. καὶ ταῦτα ἐγὼ μεταμόρ-
φωσιν βασιλικωτέραν νενόμικα ἧς μετεμόρφου Ξέρξης τὴν
ἤπειρον καὶ τὴν θάλασσαν, καὶ ἧς ἡ Κίρκη τοὺς ἀνθρώπους,
καὶ ἧς ἡ Μήδεια τὸ γῆρας, καὶ ἧς Αὐτόλυκος τὰ φώρια. οὐ
γάρ ἐστι πρὸς τὴν φύσιν φιλονεικία, ἀλλὰ πρόσοδος ἀκριβεστέρα· ἡ
δύναμις αὕτη καὶ Ἑρμοῦ δῶρον, ψυχὰς ἐξ ἀγρίων ἡμέ-
ρους κατασκευάζειν, καὶ ἐξ ἀλλοτρίων ἐπιτηδείους. νῦν δὲ
τοῦ χαλκὸν μὲν εἰς ἀργύριον μεταβαλεῖν, καὶ τοῦ τὸ ἀργύριον
εἰς χρυσίον, ἀσμένως ἄν τινα ἐξεύροιμεν τέχνην. ᾧ δὲ ἔνεστιν
ἀνθρώπους εἴτε ἀπὸ τύχης, εἴτε ἀπὸ γνώμης ἀφηνιάσαντας
αὖθις χειροήθεις ποιῆσαι, ὥστε εἰς τὸ νουθετεῖν ἐάσαι, τὸ ἐπὶ
καιροῦ λελυπηκότι ἀδιάλλακτα ἀγανακτεῖν, καὶ τῷ βασι-
λεῖ προσήκοντος ἐπὶ πέρα δεῖν ἄχρι τὸ θυμῷ κεχαρισμένον,
πῶς οὐκ ἂν ἀτοπώτερος εἴη τῶν ἡνιόχων, οἳ τοὺς αὐθάδεις τῶν
ἵππων οὐκ ἀποσφάττουσι παραχρῆμα, ἀλλὰ πραοτέρους
ποιήσαντες, χρῶνται βελτίοσι γεγενημένοις; ἔχω δέ σοι καὶ
ἕτερον εἰπεῖν βασιλέα τῆς ταύτης μὲν οὐκ ἄρξαντα γῆς ὅσης
Φίλιππος καὶ Ἀλέξανδρος, τῷ Πυθίῳ δὲ ὅμως παρασχόντα
ἀμφισβήτησιν εἴτε θεὸν αὐτὸν προσρητέον, εἴτε ἄνθρωπον,
Λυκοῦργον τὸν Σπαρτιάτην. ὥστε τοίνυν οὐκ εἰς χρήματα ζη-
μιωθείς, ἀλλ' αὐτὸν ἐκκοπεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, νέου
τινὸς ξύλῳ πατάξαντος ἐν ἐκκλησίᾳ, παραλαβὼν τὸν ἐκ-
κόψαντα οἴκοι πῶς ἐτιμωρήσατο; πῶς ἠμύνατο; ἀπέκοψε
μὲν καὶ αὐτός, ἀλλ' οὐ τὸν ὀφθαλμὸν τοῦ ἐκκόψαντος, ἀλλὰ
τῆς ψυχῆς τὴν θρασύτητα, ἀντὶ μοχθηροῦ πολίτου χρηστὸν
ἀποφήνας. διὰ τοῦτο ἄρα ὁ Πύθιος τῆς μὲν ψάμμου τὸν ἀ-
ριθμὸν οὐκ ἐδίσταζεν ὁπόση εἴη, οὐδὲ τῆς θαλάσσης τὰς
χόας· τὸν δὲ βασιλέα τὸν οὕτω φρονοῦντα οὐκ εἶχεν ἀπο-
φήνασθαι πότερον θεὸς ἢ ἄνθρωπος εἴη. σὺ δὲ οὐχ ἕνα ἐ-
παραύνας, ὥσπερ Λυκοῦργος, οὐδὲ ἕνα ἀντὶ ἐχθροῦ φίλον


ἐπτοίησας, ὥσπερ Ἀλέξανδρος, οὐδὲ τὸν δεῖνα λοιδορησάμενος προσηγάγου, ὥσπερ ἔναγχος ἀδοκιμήσας· ἀλλ᾽ ἔξεστιν ἀριθμεῖν κατὰ φῦλα στρατηγοὺς χωρὶς ταξιάρχας χωρὶς, λοχαγοὺς πολλοὺς, ἴλας τοξοτῶν, ἴλας ἱππέων, τοὺς ἐκ τῆς μεγάλης βουλῆς, οἷς δὴ οἱ δι᾽ ὅτι τοσούτοις οὖσι καὶ τηλικούτοις οὐκ εἰς μακρὰν τὸ ἐνδέον προσθήσεις. καὶ τότε ἔξεστί μοι μετὰ παρρησίας διστάσαι, δίζω εἴ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον· οὐχ ὅτι καὶ νῦν τινες χαλεπόν τι καὶ πέρα τοῦ μέτρου πεπόνθασιν, ἀλλ᾽ ὅτι σὺ σαυτοῦ πεποίηκας καὶ τὰ εἴσω τοῦ μέτρου. καὶ ζητήσουσιν οἱ ἄνθρωποι οὐ τί τοῖς ὑπ᾽ ἐκείνων πλημμελήμασιν ἀκόλουθον ἦν, ἀλλά τι τοῖς ὑπὸ σοῦ περὶ τοὺς λοιποὺς πεπραγμένοις· καὶ θαυμάζουσιν οὐχ ὅτι μὴ πάντες οἱ τὰ αὐτὰ πλημμελήσαντες τὴν αὐτὴν δεδώκασι δίκην, ἀλλ᾽ ὅτι μὴ πάντες οἱ τὰ ἴσα ἐξαμαρτόντες τῆς ἴσης τετυχήκασι φιλανθρωπίας. ἐπεὶ τά γε πράγματα αὐτὰ καθ᾽ ἑαυτὰ ἐξετάζοντι, ἐντιμότερον σὺ προσενήνεξαι τοῖς ἐαλωκόσιν, ἢ ἕτεροι τοῖς ὑπὲρ σφῶν ἀριστεύσασιν. οἶδας γὰρ, ὡς ἔοικεν, ἀκριβῶς, ὅτι δεῖ μὲν καὶ θυμοῦ μέγεθος ἐνυπάρχειν τῷ βασιλεῖ, ἀλλὰ μέγαν ὄντα τὸν θυμὸν ἀνήκοον εἶναι προσήκει ὥστε ἀμετάπειστον εἶναι τῷ λόγῳ. τὸ δὲ ἅπαξ παραλλάξαντος ἀνακαλεῖσθαι τὴν ἀκμὴν, οὐ μεγάλης ἀλλὰ καὶ πάνυ σμικρᾶς διανοίας, ὥσπερ μειρακίου τραῦμα ἀλύπως ἰαθὲν ἀναξαίνοντος καὶ διατρίβοντος ἐν τῷ βοᾷν, δέον τῷ φαρμάκῳ συγχωρήσαντα ἀπηλλάχθαι. φάρμακον δὲ ὀργῆς οἰδαινούσης τὸ μὲν αὐτίκα λόγος ἐστὶν, ᾧ σὺ τηνικαῦτα ἐπραΰνας σφαδάζουσαν καὶ ζέουσαν ἔτι· τὸ μετὰ ταῦτα δὲ ὁ χρόνος ἰατρὸς ἤδη γίνεται καὶ τοῖς λίαν δυσμεταχειρίστοις. τὸ δὲ ὑπ᾽ ἀμφοῖν ἀμείλικτον, ἔξω τῆς φύσεως ὑπολαμβάνειν ἔστι τῆς θείας καὶ τῆς ἀνθρωπίνης. διό φησιν Ὅμηρος τοὺς μὲν ἄλλους θεοὺς στρεπτοὺς εἶναι καὶ παραιτητούς, τὸν δὲ Ἅδην μόνον ἀμείλικτον καὶ ἀδάμαστον. τοιγαροῦν μόνος αὐτοκρατόρων καὶ οἷς ἐπιεικέστερον προσηνέχθης, τούτοις χαλεπώ-

τερον τιμωρῆσαι, εἰς αἰσχύνην δὲ καὶ μεταμέλειαν καταστήσας, καὶ τῇ παρ᾽ ἑαυτοῦ λύπῃ κολάσας τοὺς πλημμελήσαντας, αἰδουμένους ἐξ ὧν οὐκ αὐτοὶ πέπονθον κακῶς, οἷα ἠδίκησαν. χαλεπωτέρα γὰρ ἡ ἐλευθέρῳ λύπη τῆς διὰ τοῦ σώματος γινομένης ἡ διὰ τῆς αἰσχύνης ἐστί. σημεῖον δέ· τὰς μὲν γὰρ ὑπομένουσι καὶ ἐγκαρτεροῦσι, δι᾽ αἰσχύνην δὲ προΐενται πολλάκις τὸν βίον. πῶς οὐ θρηνοῦσι τὴν ἀβουλίαν; πῶς οὐ στένουσι τὴν γοητείαν, οἳ αὐτοὶ οἷς προείλοντο παραβληθέντες, καὶ πειρώμενοι τοῦ πόνου εἰς ὃν ἐξήμαρτον ἢ ᾧ φενακισθέντες προσέθεντο· οὐδὲ γὰρ ἐν τοῖς κινδύνοις τὸν ἀνεκτὸν* ἀδύσας ποτὲ σμικρὸν ὑπὸ τῆς τύχης ἀνερριπίσατο, τοῦ Ξέρξου παρῆκε τὴν ὀφρῦν, τοῦ Καμβύσου τὴν παροινίαν, οὐδὲ ἀνδραπόδοις μετρίως χρώμενος τοῖς ὑπ᾽ αὐτοῦ γοητευθεῖσιν. ὃ δὲ μάλιστά μοι δοκεῖ τῆς ἐκείνου φύσεως δεῖγμα γεγενῆσθαι, τοῦτο οὐ πρὶν εἰπεῖν παύσομαι. φιλοσοφίαν τοίνυν, ὦ βασιλεῦ, ἅπαντες μὲν ᾐδέσθησαν, ὥσπερ τι πάτριον ἱερόν, οἱ σὺν νόμῳ τὰς βασιλείας διαδεξάμενοι· πολλοὶ δὲ καὶ συμπαρέλαβον ἐπιστάτας, καὶ τοῦ βίου σοφὸν προεστήσαντο· οἷς ἐκτίνουσι τὰ γινόμενα χαριστήρια, ἀνεξάλειπτον αὐτῶν τὴν ἀγαθὴν μνήμην τῷ παντὶ χρόνῳ συμπαραπέμπουσα. ὁ δὲ γὰρ ὅστις ἔδοξεν οὐ περὶ πολλοῦ περιορᾶν ἀδικουμένην, οὐκ αὐτός τι κακὸν ἐργασάμενος, ἀλλ᾽ ὅτι περιήκατο μόνον καὶ περιεῖδεν, ὅμως οὐκ ἀνταναφέρει τῇ λοιπῇ δόξῃ πρὸς ταύτην μόνην τὴν δυσφημίαν. ταύτης τοίνυν ἔτι μικροῦ περισωζομένου λειψάνου, οὐκ ἔχων οὔτε μέγα οὔτε μικρὸν ἐγκαλέσαι, ἀλλ᾽ ὅτι μόνον συνῄδει μὴ δυναμένην ἐπαρκεῖν τῷ τολμήματι, οὐκ ἐφείσατο ὅσον ἐφ᾽ ἑαυτῷ, οὐδὲ ὤκνησε ψῆφον ἐξενεγκεῖν, ἣν οἱ θεοὶ καλῶς ποιοῦντες ἔτρεψαν αὐτῷ παραχρῆμα εἰς τὴν κεφαλήν. ὁ τὸν πώγωνα καθειμένος, καὶ τοῦ φιλοσοφωτάτου τῶν βασιλέων μεταποιούμενος. ἀλλ᾽ οὐχ ὑμεῖς οἱ τοῖς ὅπλοις ἐντεθραμμένοι, ἀλλ᾽ εἰσκαλεῖσθε καὶ συμπαρείσασθε, καὶ τῶν μεγίστων τιμῶν ἀξιοῦτε. καὶ τοῦτο μὲν ἐῶ. ἀλλὰ τὸν καθηγητὴν ἐκείνου

τῷ αὐτοκράτορος διὰ ταῦτα ἐξέπεσεν τρόπῳ τῶν στρατιωτῶν αἱρουμένων, ἐξελόμενοι τοῦ ἐσχάτου θανάτου, ἐπειδὴ τὸν θυμὸν ἔδει παραμυθήσασθαι τῶν δικαίως ἀγανακτεῖν πεπιστευκότων, χρήμασι μόνοις ἐζημιώσατε. χρὴ γάρ, ὡς ἔοικεν, ἐξ ἀμφοῖν ὑμᾶς φιλοτιμεῖσθαι, καὶ δι' ὧν εὖ ποιεῖτε φιλοσοφίαν, καὶ δι' ὧν τὸ πάλιν κακῶς ἐξαιρεῖσθε· καὶ πᾶσι γίνεσθαι φανερὸν ὅτι μήτε ἐκείνη ἡ ψῆφος τῆς ὑμετέρας κρίσεως ἦν, ἀλλὰ τοῦ κοινοῦ θορύβου καὶ τῆς συστάσεως, καὶ τῆς εἰωθυίας ἀπαιτεῖν ἀγνωμοσύνης τοῖς ἐν παιδείᾳ διενεγκοῦσι. καὶ τούτου τεκμήριον ἐναργές. τὸν γὰρ ἐγκληθέντα, μὲν ὑπὸ τῶν αὐτῶν, πραοτέρᾳ δὲ χρησάμενον τῇ παρὰ τῶν πολλῶν δυσμενείᾳ, οὔτε τιμὴν παραχρῆμα ἀφῆκας. ἀλλ' ἱκανῶς ἔχει τῷ νεμεσήσαντι δαιμονίῳ εἴ τι τι καὶ πρότερον παρεώραται. ἀλλὰ τὰ νῦν γε ἀντίκρυς τῆς Σωκράτους μεγαλοψυχίας οὐχ ἥρπασε τὸν καιρὸν βουλιμιῶν, οὐ συμπαρῆν ἔχειν τῇ φορᾷ τοῦ ἀλάστορος, οὐ ῥῆμα ἀφῆκεν ἀδικουμένου, ἀλλὰ τὴν ὀργὴν τῶν ἐντίμως βασιλευόντων τῆς φιλανθρωπίας αἰσχροτέραν ὑπέλαβε τοῖς νόμοις ἐπαναστάντος· ἀλλὰ μᾶλλον εἵλετο διακαρτερεῖν ἐν οἷς ἦν, ἢ τὰ παρόντα μεμψάμενος ἀπαλλάχθαι. τοιγαροῦν ἅπαντα ὁ μιαρὸς τἄλλα μετακινῶν, τὰς ἐκείνου συμφορὰς μόνας ἐφύλαξεν ἐπὶ χρήμασι. καίτοι εἰ καὶ πάνυ δικαίως καταψηφισθέντα ἠπίστατο, ἀλλ' ἑτέροις γε ἔδωκεν ἄδειαν πολλῷ δικαιότερον καταγνωσμένοις. νῦν δέ, ὡς ἔοικεν, οὐκ ἤνεγκεν ὑπὸ τοῦ μάλιστα παρ' ἐμοῦ τυχεῖν εὐνοοῦντος κακῶς παρορώμενος· δίκαιος οὖν ἀπολαῦσαι τῆς σῆς πραότητος ὁ τῆς ἐκείνου μὴ ἐθελήσας καλόν τι διασώσασθαι, τὰ ζώπυρα τῆς φιλοσοφίας. σημεῖον γὰρ βασιλείας εὐδαίμονος αὕτη ἡ τέχνη ἐπιδιδοῦσα, καὶ ἀνάγκη ἀρετὴν ἔντιμον εἶναι, παρ' οἷς φιλοσοφία σπουδῆς ἀξιοῦται. ἐν ᾗ δεῖ σε μνήμην ἀθάνατον καὶ ἀγήρω καταλιπεῖν, οὐ γὰρ μόνον οἱ τὰς πόλεις

εὖ ποιοῦντες ἀθανάτους καταλείπουσι τὰς μνήμας, ἀλλὰ καὶ οἱ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων τιμῶντες. ἀεὶ γὰρ ἕως ἂν ᾖ γένος ἀνθρώπων, οὐκ ἐπιλείψουσιν οἱ περὶ τοὺς θειοτέρους τῶν λόγων φιλοχωροῦντες. ὥστε ἀνάγκη διαδόσιμον γενέσθαι τὴν φήμην τῶν καλῶς αὐτῇ προσενεχθέντων, εἰς ἅπαντα σχεδὸν τὸν αἰῶνα.

ΤΟΥ ΑΥΤΟΥ, ΕΠΙ ΤΗΣ ΕΙΡΗΝΗΣ, Οὐάλεντι. Λόγος δέκατος.



ΜΗΝ ἐγώ σοι κατακορὴς ἤδη καὶ πλησμιος εἶναι, τοσαυτάκις ἔμπροσθεν διειλεγμένος. ὥστε δέδια ἔτι ἀπόκνων καὶ νῦν ποιήσασθαι πρόσοδον ἐπὶ τοῖς λόγοις, μὴ δόξαιμι ἐνοχλεῖν οὐδὲν δεόμενος. ἐπεὶ δὲ ἐπειδὴ καὶ πάνυ προθυμούμενον ἠρεμεῖν οὐκ ἐᾷς, ἀλλ᾽ ὥσπερ εἰς φορὰν ἐνιαύσιον φοιτᾶν οἴει σοι δεῖν καὶ τὴν ἐκ τῶν λόγων συντέλειαν, ἐκεῖνο μὲν ἀναγκαῖον, αὐτόθεν δὲ ἔσται μοι τὸ προοίμιον. οὔτε γὰρ ἄλλο τι πρότερον τῶν σῶν ἀγαθῶν ἀποδέχεσθαι προσήκει τοὺς λόγους ἢ τὴν περὶ ἑαυτοὺς προθυμίαν. καὶ δὴ τὰ ἐπαινῶ σου τοῦτο πρῶτον, ὦ βασιλεῦ, ὅτι τοῖς γεωργοῖς ἐπανιέναι προθυμῇ τὰ λειτουργήματα, τοῖς φιλοσοφοῦσι δὲ οὐ συγχωρεῖς. ἀλλὰ τοὺς μὲν ἥδιον ἂν ἴδοις καθ᾽ ἕκαστον ἔτος ἔλαττον εἰσφέροντας ὧν προσήνεγκαν· παρὰ τῶν λόγων δὲ ἀεί τι πλεῖον εἰσπράττῃ. καὶ τόγε ἔτι τούτου θαυμασιώτερον, ὅτι καὶ τῶν λόγων αὐτῶν προτιμοτέρους ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων. αἴτιον δὲ, οὐ γὰρ ἐκκρέμασαι τῶν ὀνομάτων, ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷς· οὐδὲ τοὺς κάλλους τῶν ῥημάτων ἑάλωκας, ἀλλὰ τοῦ κόσμου τῆς διανοίας.

καὶ διὰ τοῦτο, ὡς ἔοικεν, ἐντιμοτέραν ἔχει παρά σοι τάξιν φιλοσοφία ῥητορικῆς. ὃ γὰρ μάλιστα ἀγαπᾷς, τοῦτο μάλιστα ἐσπούδακεν αὕτη ἡ τέχνη, τὸ νῦν παρέχεσθαι χρηστὸν, οὐχὶ τὰ ῥήματα, καὶ σκοπεῖν οὐχ ὅπως ἂν ἥδιστα εἴποι τις ἀκούουσιν, ἀλλ' ὅπως ὠφελιμώτατα. ὃ τοι μάλιστα ἀρέσκον ἐρῶμεν. πρὸς γὰρ τοὺς κολακεύοντας ὕποπτος ὢν, τοῖς νουθετοῦσιν εὔκολον σεαυτὸν παρέχεις καὶ χειροήθη. Καλλισθένην μὲν γὰρ Ἀλέξανδρος, ὅτι παρῄνει τοῖς νομίμοις ἐμμένειν τῶν Μακεδόνων, τὴν παρρησίαν οὐκ ἐνεγκὼν, ἀπεσείσατο. σὺ δὲ προσκαλεῖς τοὺς φιλοσόφους, κἂν ἀποκνῶσι· καὶ ὁπόταν σὺ χρόνον οὐδ' ἔτι ἐπὶ χώρας μένῃς, ἀνάγκης χρηματίζεις τῶν λόγων. τοῖς στρατηγοῦσι δὲ οἱ φιλοσοφοῦντες ἐν ἴσῃ προεδρείᾳ, γνώμης ἅμα καὶ δυνάμεως σε θεραπευούσης. διὰ γὰρ τοῦτο καὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς γεννῶσιν οἱ ποιηταὶ τοῦ Διὸς, ἐνδεικνύμενοι καλῶς ὅτι προσήκει τῶν βασιλείων μήτε λόγον ἄπρακτον, μήτε πρᾶξιν ἄλογον ἐκφοιτᾶν, ἀλλὰ καὶ τὸν νοῦν ἐνεργὸν εἶναι καὶ γέμειν νοῦ τὸ δραστήριον. πιστοῦται δὲ καὶ τοῦτο ὁ περιλαβὼν χρόνος. εἴτε γὰρ τὸν Ἀλέξανδρον ἐννοήσαις, εἴτε τὸν Σεβαστὸν, εἴτε τὸν Μάρκον, δι' οὐδὲν ἄλλο εὑρήσεις εἰς τοσοῦτον δόξης προεληλυθότας, ἢ ὅτι τῶν χλαμύδων οὐκ ἀπεσκιώσου πολὺ τὰ τριβώνια, οὐδὲ Παρμενίωνος Ἀριστοτέλης ἀτιμότερος ἦν, οὐδὲ Ἄρειος Ἀγρίππου. ὅσοι δὲ ἢ φιλόσοφοι γεγόνασι πλέον ἢ φιλοπόλεμοι, καὶ τὸ δοκοῦν ὑπ' αὐτῶν ἀξιοῦσθαι σπουδῆς μέρος τῷ παροφθέντι συνηφανίσθη. οὐ γὰρ οἷόν τε ἢ λόγους ἐνδόξους γενέσθαι, μὴ τῶν ἔργων αὐτοὺς βεβαιούντων, ἢ τὰ ἔργα πρὸς τὸν χρόνον διαβιῶναι τὸν ἐφεξῆς, μὴ λόγου τινὸς μνήμην αὐτῶν παραπέμποντος. οἱ μὲν τοίνυν τῶν ποιητῶν λόγοι καὶ οἱ τῶν ῥητόρων ἴσως μὲν ἄλλο τι χρηστὸν ἔχοιεν

ἀεὶ, οὗ δὲ μάλιστα ἐχρῆν πεφροντικέναι, τοῦτο παρορῶσι. τὸ γὰρ μέγεθος ἐν ταῖς πράξεσιν, οὐ τὴν ἀρετὴν, ἐπιζητοῦσι. καὶ διὰ τοῦτο τὰς παρατάξεις καὶ τοὺς πολέμους καὶ τῶν νεκρῶν τὸν ἀριθμὸν διατελεῖν ποιοῦνται τοῖς λόγοις, καὶ τὸ πολὺ τῶν ἐγκωμίων αὐτοῖς οἱ φόνοι καὶ αἱ πορθήσεις. νίκην δὲ ἐν καιρῷ γενομένην καὶ μετὰ τοῦ πρέποντος σχήματος οὐδεὶς πώποτε ὑπέλαβε πολλῶν τροπαίων τιμιωτέραν. τὸ δὲ οὐχ οὕτως ἔχει· ἀλλὰ τοῦ νικῆσαι πολλάκις τὸ τὴν νίκην ὑπεριδεῖν ἐντιμότερον. ἐμοὶ δὲ τοῦτο ἔσται κεφάλαιον τοῦ παρόντος λόγου. οὐ γὰρ οὕτως ἀνήκοός εἰμι Πλάτωνος τοῦ θεσπεσίου, ὥστε τὰ αὐτοῦ μὴ μανθάνειν, ὅτι κολοβὸς καὶ βασιλεὺς καὶ νομοθέτης ὃς πολεμεῖν μὲν ἱκανὸς, εἰρήνην δὲ ἄγειν οὐχ οἷός τε. ταύτῃ γὰρ, οἶμαι, καὶ Λυκοῦργον εὐθύνει τὸν σπαρτιάτην, ὡς συστησάμενον πολιτείαν στρατευομένοις μὲν ἐπιτήδειον, καταθεμένοις δὲ τὰ ὅπλα δυσμεταχείριστον. τοῦτο δέ ἐστι τὸ βέλτιον τοῖν μεροῖν παρεωρακότος καὶ οὗ χάριν θάτερον ἀναγκαῖον. πολέμου γὰρ ἆθλον εἰρήνη. καὶ στρατεύονται οἷς ἀνάγκη, οὐχ ἵνα διὰ τέλους στρατεύοιντο, ἀλλ' ἵνα ἀσφαλῶς ἡσυχάσωσιν. ὅστις οὖν πρὸς μὲν ἀσχολίαν παιδεύειν ἱκανὸς, σχολὴν δὲ οὐχ οἷός τε διατίθεσθαι, τῆς καλλίονος μοίρας ὀλιγωρεῖ. καὶ τοῦτο οὖν ἐγὼ Πλάτωνος θαυμάζω, καὶ ἔτι μᾶλλον ὅταν διδάσκῃ ὅτι πολέμου καὶ εἰρήνης σπέρματα ἐν ἑκάστῃ ψυχῇ πρότερόν ἐστι· καὶ ὅστις οἷός τε πρὸς ἑαυτὸν ἄγειν εἰρήνην, οὗτος οἷός τε καὶ πρὸς τοὺς ἔξωθεν πολέμους· ᾧ δὲ ἀδύνατος ἡ πρὸς ἑαυτὸν ἐκεχειρία, σχολῇ ποτ' ἂν οὗτος τὰς πρὸς ἀλλήλους σπονδὰς ἀγαπήσειεν. ἔστι γάρ τι καὶ ἐν ἑκάστῳ βάρβαρον φῦλον, λίαν αὔθαδες καὶ δυσπειθὲς, τὸν θυμὸν λέγω καὶ τὰς ἀπλήστους ἐπιθυμίας, ἀντικαθήμενον

γεμόνι τῷ λογισμῷ, καθάπερ ῥωμαῖοι, σκύθαι καὶ γερμανοί. ὥσπερ οὖν τὰ πάθη ταῦτα λογικὰ ἐπανίσταται τῷ βελτίονι, παντάπασι μὲν ἐξελεῖν οὔτε δυνατὸν, οὔτε συμφέρον, (ἃ χρείας ἕνεκεν ἡ φύσις ἐγκατέσπειρε τῇ ψυχῇ) ὑποκύπτοντα δὲ παρέχεσθαι καὶ ὑπήκοα τοῖς ἐκ τοῦ νοῦ παραγγέλμασι, τῆς ἀρετῆς ἔργον ἐστίν· οὕτω καὶ τῶν βασιλέων ἔργον, οἷς τοὔνομα τοῦτο ἐπαληθεύεται, ὅταν παρακινήσαντας καταλάβωσι τοὺς βαρβάρους, τὸ μὴ πρόρριζον ἐκκόπτειν παντελῶς τὸ συμπλήρωμα τῆς φύσεως τῆς ἀνθρωπίνης, ἀλλ' ἐπικόψαντας τὴν αὐθάδειαν, σώζειν ἤδη καὶ περιστέλλειν, ὡς τῆς ἀρχῆς μοῖραν γεγενημένους. ἔχει γὰρ οὕτως· ὅστις μὲν ἀχρείων ἐπέξεισιν ἅπαντας διαστασαμένοις τοῖς βαρβάροις, οὗτος ῥωμαίων μόνων ἑαυτὸν βασιλέα ποιεῖ· ὅστις δὲ κρατεῖ μὲν, φείδεται δὲ, οἶδεν ἑαυτὸν βασιλέα πάντων ἀνθρώπων, καὶ μᾶλλον ἐκείνων οὓς διετήρησε καὶ διέσωσεν, ἐξὸν ἀνελεῖν παντελῶς. ὡς ἔγωγε οὐδὲ τὸν κομψὸν Ἀγαμέμνονα φαίην ἂν λέγειν βασιλικῶς, ἐπιτιμῶντα τῷ ἀδελφῷ μαλαττομένῳ πρὸς τὸν ἱκέτην, καὶ πικρὰν οὕτως ἀρὰν καὶ ἀλλόκοτον προσευχόμενον, μηδένα τῶν τρώων διαφυγεῖν, ἀλλὰ καὶ τοὺς οὔπω τεχθέντας ἀπολέσθαι πρὸ τοῦ γενέσθαι. ἀλλ', ὡς ἔοικεν, οὐκ ἦν ἀρυκρείων ἀληθινὸς, ἀλλ' ἀργείων μόνων βασιλεὺς καὶ μυκηναίων, ἀνθρώπων δὲ οὔ. καίτοιγε Ὅμηρος ἐπ' αὐτοῖς ὀνομάζει τὸν Δία πατέρα, οὐ τῶν ἑλλήνων μὲν λέγει πατέρα, τοὺς βαρβάρους δὲ ἐξαιρεῖται· ἀλλ' ἁπλῶς φησι πατέρα θεῶν καὶ ἀνθρώπων. ὅστις οὖν καὶ τῶν ἐπὶ γῆς βασιλέων οὐ ῥωμαίοις μόνον ὡς πατὴρ προσενήνεκται, ἀλλ' ἤδη καὶ σκύθαις, οὗτός ἐστιν ὁ τοῦ Διὸς ζηλωτὴς, καὶ οὗτος ὁ φιλάνθρωπος ἀτεχνῶς. τῶν δὲ ἄλλων Κῦρον φιλοπέρσην καλῶ, ἀλλ' οὐ φιλάνθρωπον· φιλομακεδόνα δὲ Ἀλέξανδρον, ἀλλ' οὐ φιλέλληνα· τὸν δὲ Σεβαστὸν, φιλορωμαῖον· ἄλλοι δὲ ἄλλου γένους

ἐραστὴν ἢ ἔθνους, οὗ καὶ βασιλεὺς ἐνομίσθη φιλάνθρωπος δὲ καὶ βασιλεὺς ἁπλῶς, ὃς μηδένα ἀνθρώπων ὅλως ἀλλότριον τῆς ἑαυτοῦ προνοίας ποιεῖται. καλὸν μὲν οὖν καὶ τὸ περαιοῦσθαι τὸν Ἴστρον σὺν τῇ τοῦ πολέμου παρασκευῇ, καὶ δὶς ἐφεξῆς ἀνάστατον ποιῆσαι τὴν πολεμίαν, σταθμοὺς τόσους καὶ τόσους ὅσους οὐδὲ πρεσβεύοντές πώποτε προελθεῖν ἐθαρρήσαμεν. ἀλλ᾽ εἰ καὶ σεμνὰ ταῦτα καὶ γενναῖα καὶ λίαν ὀλίγοις ὑπάρξαντα τῶν πώποτε αὐτοκρατόρων, ἀλλ᾽ ἔτι ἐννοήσωμεν τὴν ἡμέραν ἐκείνην ἧς ἐγενόμην αὐτόπτης, πότε σοὶ τῆς τε Ξέρξου σχεδίας ἐφ᾽ ἧς διεβίβασε σὺν τῇ στρατιᾷ τὸν Ἑλλήσποντον, φαίνεται ἀμείνων ἡ μία ναῦς ἐφ᾽ ἧς ὁ βασιλεὺς τὰς σπονδὰς ἐποιήσατο, καὶ τῆς γεφύρας τῆς διακομιζούσης τὸν πόλεμον ἡ διαδιδοῦσα ὁ καὶ τὴν εἰρήνην. ἐγὼ παρατάξεις μὲν οὐ τεθέαμαι σκυθικάς, ἐκκλησίας δὲ φόβου, καὶ συνέδριον καταπλήξεως, καὶ στρατηγὸν ῥωμαίων ἐπιτάττοντα σκυθῶν βασιλεῦσι. καὶ ἀλαλαγμοῦ μὲν οὐκ ἀκήκοα βαρβαρικοῦ, θρήνων δὲ καὶ ὀδυρμῶν καὶ δεήσεων, καὶ φωνῆς αἰχμαλώτοις μᾶλλον ἢ σπενδομένοις πρεπούσης· ὑφ᾽ ἂν ἐπεκλάσθη τις ἂν καὶ ἀδάμαντος στερεώτερος. ἀλλὰ βασιλεὺς τῶν μὲν βαρβάρων πολλὰς ἀπέσκεψεν εἰς τοὐπίσω πρεσβείας ἀπράκτους, τὴν δὲ ὑμετέραν κατῃδέσθη. καί, ὡς ἔοικεν, ὑπὸ σκυθῶν ὑμεῖς ἐχειροτονήσατε φιλοσοφίαν τὴν μόνην θείαν τε οὖσαν καὶ δίκαιον θυμὸν καταπραΰνειν. ὥστε μοι τότε μάλιστα ἔργον ἦν τοὺς ὑπὲρ φιλανθρωπίας λόγους ἐκμελετᾶν, καὶ δεικνῦναι τῷ βασιλεῖ ὅτι μᾶλλον θεῷ παραπλήσιοι τῶν ἀναιρούντων οἱ σώζοντες. μόλις μὲν οὖν καὶ χαλεπῶς, ἀλλὰ συνεπείσθη. καὶ εἶξε, καὶ προσωρμίσατο πλησίον, σὺν ἀμφοτέρῳ τῷ σχήματι. ὁ μὲν οὖν Τρωϊκὸς ποταμὸς ἐκποδὼν καθίστατο Ἀχιλλεῖ κατὰ τῶν Τρώων παροξυνομένῳ, θριβῶν τῷ ἀφρῷ καὶ τοῖς κύμασι τὸν νεα-

ρίαν. ἴστρος δὲ ἐπὶ πολέμῳ μὲν βασιλέως περαιουμένου, ἐ-
ζεύγνυτο ἄκων, σπένδεσθαι δὲ μέλλοντι συμπροεθυμεῖτο, καὶ γα-
λήνην ἐθελοντὴς ὑπεστρώννυε ταῖς τὴν εἰρήνην πρυτα-
νευούσαις τριήρεσιν. ἐσάλευον μὲν οὖν ὥσπερ ἐν ὅρμῳ τῷ
ῥείθρῳ· καὶ ἔδοξας ἂν ἐρριζῶσθαι τὰς ναῦς ταῖς ἀγκύραις.
εὐθὺς δὲ ἐκ προοιμίων ὅτι συνεχώρει τὰ σφέτερα αὐτοῖς
καρποῦσθαι, δῆλον ἐποίει, προσχὼν μὲν πλησίον, ἀποβῆναι
δὲ μὴ θελήσας. οἱ δὲ ἐξεκέχυντο ἀγεληδὸν ἐπὶ τῆς ὄχθης ἥ-
μεροι καὶ χειροήθεις, πλῆθος οὐ ῥητὸν ἀριθμῷ, πότε δὴ πρό-
τερον θεαίοις μυριάδες τοσαῦται σκυθῶν αἱ ἐν φροντίδος ὁρώ-
μεναι. Ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον, εἶπεν
ἄν τις ἀπιδὼν τηνικαῦτα εἰς ἄμφω τὰς ἠϊόνας τοῦ ποτα-
μοῦ, τὴν μὲν ἀστράπτουσαν τοῖς στρατιώταις ἐν κόσμῳ τὰ
δρώμενα θεωμέναις μετὰ φρονήματος καὶ ἡσυχίας, τὴν δὲ
ὁμάδου γέμουσαν συμμιγοῦς ἐπὶ γῆς ἐρριμμένων τῶν ἱκε-
τῶν. μᾶλλον δὲ εἶπεν ἄν σε καὶ τοῦ Ἀγαμέμνονος ὀλβιώτε-
ρον. ὁ μὲν γὰρ οἷς ἦγε μόνον ἐμακαρίζετο, σὺ δὲ καὶ οἷς εἶχες
καὶ οἷς συνεχώρεις. ἕτερος μὲν οὖν τῆς πρὸς Ἕλληνας ναυ-
μαχίας οὔτι θεατὴς ἦν ἀνδρεῖος, ἀλλ' ἐκάθητο ὑπὸ σκηνῇ
χρυσῷ σκιαζόμενος ὀρόφῳ, μαλακίας μᾶλλον ἢ πλούτου
σημεῖον. βασιλεὺς δὲ καὶ ἐν ταῖς σπονδαῖς ἐπεδείκνυτο
τὴν καρτερίαν ἣν οὐκ ἂν ἤνεγκαν πολεμούμενοι, ἐφ' ἡλίῳ
στὰς ἐπὶ τῆς νεὼς, ἡνίκα μάλιστα ἑαυτοῦ φλογωδέστερος ἦν,
ἐπὶ ταὐτοῦ σχήματος ἐξ ἕω μέχρι δείλης ὀψίας. καταστὰς δὲ
ὑπὲρ τῶν δικαίων εἰς ἀγῶνα πρὸς τοὺς βαρβάρους, νίκην ἐ-
νίκα σεμνοτέραν καθ' ἑαυτὸν ἧς οὐδεὶς ἐπικοινωνὸς ἦν, οὐ
στρατηγὸς, οὐ ταξίαρχος, οὐχ ὁπλίτης. ἀλλ' ἐγὼ πάλαι μὲν
τὴν ἀγχίνοιαν μόνον ἐτεθαυμάκειν, ᾗ χρώμενον εἰς τὰ
πράγματα καθεώρων, καὶ φύσεως ᾤμην κατόρθωμα

εἶναι αὐτοφυῆ βασιλέα δημιουργούσης. δεινότητα δὲ τοσαύτην καὶ βάθους ὁμοῦ διανοίας, καὶ δρόμον ῥημάτων κεκραμένον καταπλήξει καὶ ἀμμελείᾳ, οὐδὲ ἐν ῥήτορι πρὸς τὸ ἔργον ποιουμένῳ ῥᾳδίως κατεῖδον. ὥστε μοι μικρὸς ἐφαίνετο ὁ Περικλῆς, καὶ ὁ τὸν Περικλέα τεθαυμακὼς, ὅτι καὶ θαρβοῦντας ἀθηναίους λέγων κατέπληττεν εἰς τὸ φοβεῖσθαι, καὶ δεδιότας εἰς τὸ θαρσεῖν αὖ καθίστη. αἰσθανόμεθα οὖν πρὸς τοὺς λόγους τοῦ βασιλέως τὰ αὐτὰ τῶν βαρβάρων πασχόντων ἃ πάλαι οὐδὲν ἦν θαυμαστὸν ὑπὸ τῆς δεινότητος τῶν τότε ῥητόρων τοὺς ἕλληνας καὶ ἀθηναίους. καίτοι γε πρότερον εἶχον οὐδετέρᾳ ληπτὸν, οὐδὲ ὥσπερ γλώττῃ βάρβαρον, οὕτω δὲ καὶ τῇ διανοίᾳ, ἀλλ᾽ ἐν τῷ συνεῖναι μᾶλλον σοφώτερον ἢ ἐν τοῖς ὅπλοις. οὕτω γοῦν τὴν μὲν τοῦ βασιλέως ἐπωνυμίαν ἀπαξιοῖ, τὴν τοῦ δικαστοῦ δὲ ἀγαπᾷ· ὡς ἐκεῖνο μὲν δυνάμεως πρόσρημα, τὸ δὲ, σοφίας. ἀλλ᾽ ἐφαίνη δή τοτε λίαν τοῦ δικάζειν αὐτὸ τὸ δικάζεσθαι χαλεπώτερον, καὶ διηλέγχθη γελοῖος ῥήτωρ ὁ κριτὴς ἄριστος εἶναι πεπιστευκώς. τοσοῦτον γὰρ αὐτοῦ τῇ δεινότητι περιῆν ὥστε τὸν συνήγορον τοῖς βαρβάροις ὕποπτον ποιῆσαι, καὶ καταστῆσαι τοῦ μετὰ τῶν ὅπλων ἀγῶνος τὸν διὰ τῶν λόγων αὐτῷ χαλεπώτερον. ἀλλ᾽ ὅμως καταβαλὼν, εἶτα ἀνίστη καὶ χεῖρα ὤρεγε θορυβουμένῳ, καὶ φίλον ὑπὸ μάρτυσιν ἐποιεῖτο τοῖς ἀδικεῖσθαι πεπιστευκόσι. τοῦτο δὲ ἦν διαλύοντος τὴν ταραχὴν εἰς ἣν κατέστησεν· ἀπήει οὖν λίαν ἀγαπητῶς, τοῖς ἐναντίοις πάθεσι κατειλημμένος, θαρσῶν ἅμα καὶ δεδοικὼς, περιφρονῶν τοὺς ἀρχομένους καὶ ὑφορώμενος· οἷς μὲν διηλέγχθη, καταπεπληγὼς τὴν ψυχὴν, οἷς δὲ ἔτυχε τῶν σπονδῶν, ἀπαιθαδιαζόμενος. ἦν οὖν θέαμα ἰδεῖν ἄπιστον καὶ διὰ πολλοῦ συμβεβηκὸς, διδόντας τὴν εἰρήνην ῥωμαίοις, οὐκ αἰτουμένους.

πρεσβεῖαι δὲ εἰσεκαλοῦντο εἰς τὰ βασίλεια σύρων, ἀσσυρίων, αἰγυπτίων, λιβύων, ἰβήρων, ὥσπερ διαπτᾶσαι ἐξαίφνης ἐκ τῶν ἐσχάτων τῆς οἰκουμένης. καὶ τούτοις ἢ πάνυ πιστεύειν ἐχρῆν, ἢ πάνυ δεδίεσθαι. λαθεῖν γὰρ οὐκ ἐνῆν, οὐ δεδεμένους, οὐ σιωπῶντας, οὐ στένοντας, οὐ μειδιῶντας· ἀλλ' ἐπεφαίνοντο ἑκασταχοῦ, μᾶλλον δὲ συμπαρῆσαν ἀεὶ κατάσκοποι, ὠτακουσταί, Ἄργου πλείονας ἔχοντες ὀφθαλμούς, Λυγκέως ὀξυωπέστεροι· καὶ τὴν μὲν σεμνὴν γερουσίαν εἰσεπράξατο εἰσφορὰς πολυστενάκτους, οὐχ οἵας ἐνιαυτοῦ, μᾶλλον δὲ χειμῶνος ἑνός, οὐχ ἑορτῆς χρόνον, ὥσπερ Νέρων, τὸν τῶν ὀλυμπίων μετατιθεὶς καὶ μεταβάλλων, ἀλλὰ τὸ εἰς πέρυσι καὶ τὸ εἰς νέωτα, τὸν ἕνα καὶ τὸν αὐτὸν μῆνα στενοχωρῶν ταῖς εἰσπράξεσιν. ὁ δὲ Κωνσταντίου δῆμος ὁ τρυφῶν, ὁ ἐν ἀδείᾳ ζῶν, ὁ κακῶν ἀπείρατος μέχρι τῆς ἑσπέρας ἐκείνης, ὃν σὺ παρὰ τῶν ἐκείνου κληρονόμων διαδεξάμενος, οὐκ εἴασας αἰσθέσθαι τῆς τοῦ γένους μεταβολῆς, ὑπὸ τοῦ Κωνσταντίνου περιϊόντος, καὶ τοὔνομα τοῦτο ἀναισχύντως περιϊσχομένου, ὥσπερ θαλλὸν ἀφαιρεθεὶς τὴν συνήθη τροφήν, ἠγάπα συμπαρατρεφόμενος τοῖς βοσκήμασι. τοῖν δὲ ἀρχόντοιν τοῖν κορυφαίοιν ὁ μὲν τεθνηκὼς ἠπιστεῖτο, ὁ δὲ ζῶν, ἐπιστεύθη τεθνάναι. ταύτην τοίνυν τὴν οὕτω πολυειδῆ καὶ ποικίλην τραγῳδίαν μικροῦ μὲν ὅτι μέλλουσαν περιαπέκλειε τῆς ἐξόδου· ἐπεὶ δ' ἐχρῆν, ὡς ἔοικε, δῆλον γενέσθαι τὸ μέγεθος τῶν ἐπικρεμασθέντων κακῶν, ὥσπερ ἰατρῷ συνεχώρησεν ὁ θεὸς ἐν ἀκμῇ τῆς νόσου τὴν τέχνην ἐπιδείξασθαι. ἔτι γὰρ αὐτοῦ τὴν φύσιν ἐπικρύπτεσθαι πειρωμένου, καὶ αἰκάλλοντος καὶ περισαίνοντος ἅπαντας, εἰ συνέβη ταχεῖαν ἐπιλαβεῖν τὴν καταστροφήν, ἴσως ἂν ὁ κίνδυνος ἠγνοήθη, τὸν πλησίον ἀποστάντα ἀποτρέψασθαι. νῦν δὲ τοσαῦτα ἀτυχῆσαι συγχωρηθεὶς ὁπόσα θαρρήσας, ἔμελλεν ἐκφαίνειν τὸ κακόηθες καὶ δολερὸν καὶ ὑπο-

δεδυκὸς τῆς ψυχῆς, καὶ τοσοῦτον ἀπολαύσας τῆς ἐξουσίας ὅσον μὴ λαθεῖν οἷος ἦν, ἅμα τε ἠλέγχθη καὶ ἀνηρπάσθη, ὥσπερ χειμάρρους ἀθρόως μὲν αὐξηθεὶς, ἀθροώτερον δὲ ἐπιλιπὼν, αἰθρίας ἐπιφανείσης. καὶ οὕτως ἄρα σοι καὶ τὸ δυσχερέστατον τῶν συμβεβηκότων εἰς δέον τέθεικεν ὁ θεὸς, ὥστε οὐ μόνον ὅτι ἐκέρδανας τῆς μελλήσεως τὸ τὰς ἐκείνου μοχθηρίας ἐκκαλυφθῆναι, ἀλλ', ὃ καὶ τούτου μεῖζόν ἐστι, τὸ τὴν σὴν πρᾳότητα φανερωτέραν γενέσθαι ἢ πρὶν συμπεσεῖν τὸν καιρὸν τὸν ταύτης δεόμενον τῆς ἐπιδείξεως. οὐ γὰρ ἐποιήσω τὸν θυμὸν δικαστὴν, οὐδὲ ἐμέτρησας τὴν τιμωρίαν τῷ μέτρῳ τῆς ὀργῆς, ἀλλ' ἐπιστήσας τῷ πάθει τὸν λόγον, καὶ τῶν νόμων ἐφάνης πρᾳότερος, καὶ πανταχοῦ τοῖς γεγραμμένοις ἀκολουθῶν, ἔδειξας ἐν οἷς τοῦ παραβαίνειν τὰ γράμματα τὸ φυλάττειν βασιλικώτερον· καὶ διέκρινας τὸ ἀδίκημα καὶ ἁμάρτημα καὶ ἀτύχημα. καὶ γὰρ εἰ μὴ τὰ Πλάτωνος ἀποστοματίζεις, μηδὲ τὰ Ἀριστοτέλους μεταχειρίζῃ, ἀλλὰ τά γε ἐκείνοις δοκοῦντα τοῖς ἔργοις βεβαιοῖς. οὐ γὰρ τῆς ἴσης τιμωρίας ἀξίους ᾠήθης τούς τε ἐξ ἀρχῆς βουλευσαντας τὴν ἐπανάστασιν καὶ τοὺς ὑπὸ τῶν ὅπλων παρασυρέντας, καὶ τοὺς ἤδη τῷ δοκοῦντι κρατεῖν ὑποκύψαντας· ἀλλὰ τῶν μὲν κατέγνως, τοὺς δὲ ἐμέμψω, τοῖς δὲ συνήλγησας. τοσαύτη δέ ἐστιν ἡ τῆς πρᾳότητος περιουσία, ὥστε ἀγανακτοῦμεν εἰ καὶ σμικρόν τις ἀνιαθείς τῶν τὰ ἔσχατα προσδοκώντων, καὶ δυσχεραίνομεν οὐκ εἰ παντάπασιν ἀφήσαιο τὴν συγγνώμην, ἀλλ' εἰ καὶ πρὸς μικρὸν ἀναβάλλοιο. περὶ ὧν γὰρ ἃ * ἐκ τῶν βασιλέων πρὸς τὸ τέως ἐσκυθρωπακότες, καὶ τυχεῖν ὧν ἐλιπαρήσαμεν οὐκ ᾠόμεθα, οὐκ ἀνανεύσαντος, ἀλλ' ἀναθεμένου τὴν χάριν. αἴτιον δὲ οὐχ ἡ τῶν αἰτούντων ἀγνωμοσύνη, ἀλλ' ἡ τοῦ διδόντος φιλοτιμία, ἥμερον καὶ ἐκκεχυμένον τῆς εὐμενείας μᾶλλον ἐκφαίνεσθαι ποιεῖ τὸ μὴ τοῖς πολλοῖς παρα-


ληφθέντα ἀφῆκαν ἑκόντες, οὐ φασιν ἀριθμητὰ εἶναι ὅσα ῥωμαίους Μασσανάσσης χρηστὰ εἰργάσατο. εὖ δὲ ἐποίει καὶ Σωκράτης τὸ παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦντα λόγον ἐπανορθῶν, ὅτι δεῖ τοὺς μὲν φίλους εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν. ἐπηνώρθου δὲ, τὸ μὲν φυλάττων, τὸ δὲ μεταγράφων· τὸ τοὺς μὲν φίλους εὖ ποιεῖν, μεταγράφων, τοὺς δὲ ἐχθροὺς κακῶς, ἐπιδιορθούμενος. τὸ μὲν γὰρ εὖ ποιεῖν ἐπῄνει, τὸ δὲ κακῶς, ἐπηνώρθου, τοὺς φίλους μὲν εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς μὴ κακῶς ποιεῖν, ἀλλὰ φίλους, μεταγράφων. καὶ πρός τινα ἀπειλήσαντα, ἂν μή σε λαβὼν ἀποκτείνω, ἀντἀπειλήσας, ἂν μή σε φίλον ποιήσω. εἰ δὲ τὴν πραότητα ταύτην τελωνίῳ μὲν φησί τις προσήκειν, ἀλυργίδι δὲ μή, ἀλλ' ἐγώ σοι καταριθμήσω καὶ τοὺς ἐνδοξοτάτους τῶν βασιλέων παραπλησίοις Σωκράτει κεχρημένους. Φιλίππῳ τῷ Ἀμύντου κατεῖπέ τις ὅπουδὴ τῶν ταξιαρχῶν ὡς ἀπεχθῶς διακειμένου, καὶ ῥᾳδίως κακόν τι βουλεύσοντος, εἰ μὴ τάχιστα ἐκποδὼν γένηται. τί οὖν ὁ Φίλιππος; οὐκ εὐθὺς ἧκεν ἐπὶ τὸν σίδηρον, ἀλλὰ καὶ παρ' ἡμᾶς φησὶ τὸ αἴτιον τῆς ἀπεχθείας. ὁ γὰρ ἀνὴρ οὐχ ὁ φαυλότατος τῶν μακεδόνων. καὶ τά τε ἄλλα ἐπιμελεῖται εὐθὺς τοῦ ἀνθρώπου, καὶ προῖκα ἐπιδίδωσι δεομένῳ θυγατέρας ὡραίας. καὶ μετὰ ταῦτα οὐδεὶς ἦν πιστότερος τῷ βασιλεῖ τῶν πάλαι κεκριμένων ἐπιτηδείων. ὡς εὐεργεσίη κακοεργίης μέγ' ἀμείνων. οὐ γὰρ ῥᾴδιον οὕτω τινὰ ἐν ἀνθρώποις ἄνθρωπον φῦναι, ὥστε παρ' οὗ τὰ ἔσχατα πείσεσθαι προσεδόκησε, τούτῳ χρηστῷ καὶ προσνείμαντι τι τιμῆς, οὐκ εὐθὺς εὔνουν γενέσθαι. ἀλλ' ὁ τὴν τιμωρείαν διαφυγὼν, ὅσῳ δικαιότερον ὦφλε, τοσούτῳ μᾶλλον ὑπόχρεως γίνεται τῷ συγχωρήσαντι. οὕτω δὲ Ἀλέξανδρος, Μέμνονα τὸν Δαρείῳ συστρατηγήσαντα ἀποκτιννύειν τινῶν κελευόντων, ἐπειδὰν ὡς τάχιστα κύριος γένηται, μηδαμῶς, ἔφη, ἀλλὰ ποιήσωμεν ἀντὶ φιλοδαρείου τὸν ἄνθρωπον φιλαλέξανδρον. καὶ οὕτω τὴν εἰς ἐκεῖνο

σπουδὴν εἰς ἡμᾶς μεταθήσεται. ταυτὸ δὲ τοῦτο καὶ ὁ Βοιώ-
τιος στρατηγὸς, ἐπειδὴ Θηβαῖοι τῶν πόλεων ἐξελαύνειν ἐπε-
χείρουν τοὺς λακωνίζοντας, ἀλλ' οὐδεὶς, ἔφασκεν, ὦ Θη-
βαῖοι, τίκτεται φύσει φιλοθηβαῖος, ἢ φιλολακεδαιμόνιος,
ἀλλ' ἕκαστος ἑαυτῷ ἁπανταχόθεν τὸ συμφέρον ἐπιζητῶν,
παρ' ὧν ἂν τὰ χρηστότερα προσδοκήσῃ, τούτοις ἑαυτὸν
προσνέμει. ταύτην τοίνυν ἐμποιητέον τὴν ἐλπίδα τοῖς
ὑπηκόοις, καὶ οὐ δεήσεσθε ὅπλων πρὸς τὸ ποιεῖν ἑαυτοῖς
ἐπιτηδείους, ἀλλ' ὄψεσθε τὰ ὑμέτερα ἑκόντας αἱρουμένους.
εἶεν. ἀλλ' οἱ μὲν παρὰ τοῖς ἕλλησιν ἀδόκιμοι τοῦτον τὸν
τρόπον· οἱ δὲ ῥωμαίων αὐτοκράτορες πως ἅπαντες ὧν
τὰ μεγάλα ὀνόματα, παραπλησίως σοι τοὺς ἠτυχηκότας
μετεχειρίσαντο· Πομπήιος τοὺς Σερτωρίῳ συνεπαναστάν-
τας, Καῖσαρ τοὺς Πομπηίῳ συμπολεμήσαντας, ὁ Σεβαστὸς
τοὺς Ἀντωνίῳ συναποστάντας, Μάρκος τοὺς Κασσίῳ συναρα-
μένους. τοὺς δὲ ἐφεξῆς καὶ ἐγγὺς ἡμῶν τούτοις λέγω, καὶ οὗ-
τοι πάντες τῆς ἀνθρωπίνης φύσεως στοχαζόμενοι, ὅτι μηδὲν
πρὸς εὔνοιαν ἐπαγωγότερον εὐεργεσίας, καὶ ὅτι βέλτιστον βα-
σιλεῖ τὸ δι' εὔνοιαν ἐπισπᾶσθαι ἢ μὴ διὰ τὸν φόβον κρατεῖν.
ἡ μὲν γὰρ ἑκόντων, ὁ δὲ ἀκόντων ποιεῖ κυρίους. καὶ δυνάμει
μὲν εὔνοιαν οὐκ ἔστιν εὑρεῖν καταλυθεῖσαν, εὔνοια δὲ δυνάμεις
πολλάς. ἰδιώτῃ μὲν τοίνυν οὐχ οὕτω ῥᾴδιον μετασκευάζειν
οἰκειότητα τοὺς ἀπεχθῶς διακειμένους. ὅταν γὰρ ἐν ἴσῳ καθε-
στήκῃ τοῖς προσκεκρουκόσιν, οὔτε ἀφιεὶς τὴν ὀργὴν δῆλός
ἐστι, τῷ μὴ κεκτῆσθαι ἀναμφισβήτητον τοῦ τιμωρεῖσθαι τὴν
ἐξουσίαν· οὔτε ὑπάρχων εὐεργεσίας, τῷ πολλάκις ἀδυνα-
τεῖν, κἂν προαιρῆται. βασιλεῖ δὲ ἐκφανεῖς ὑπαρχούσης
καὶ τοῦ βλάπτειν καὶ τοῦ ποιεῖν εὖ τῆς ῥᾳστώνης, εἰς τὴν ἀμεί-
νω χώραν μεταθετέον ἀεὶ κατὰ τὴν ψῆφον ἐν τελείᾳ κει-
μένην ἐν τῇ φαυλοτέρᾳ, τὸ ποιεῖν τοὺς τέως ἐχθροὺς, πιστοὺς καὶ
οἰκείους

οἰκείους τῇ τῶν ἀγαθῶν χορηγίᾳ. καὶ ταύτην ἐγὼ μεταμόρφωσιν βασιλικωτέραν νενόμικα ἧς μετεμόρφου Ξέρξης τὴν ἤπειρον καὶ τὴν θάλασσαν, καὶ ἧς ἡ Κίρκη τοὺς ἀνθρώπους, καὶ ἧς ἡ Μήδεια τὸ γῆρας, καὶ ἧς Αὐτόλυκος τὰ φώρια. οὐ γάρ ἐστι πρὸς τὴν φύσιν φιλονεικία, ἀλλὰ θεόσδοτος ἀκριβῶς ἡ δύναμις αὕτη καὶ Ἑρμοῦ δῶρον, ψυχὰς ἐξ ἀγρίων ἡμέρους κατασκευάζειν, καὶ ἐξ ἀλλοτρίων ἐπιτηδείους. νῦν δὲ τοῦ χαλκὸν μὲν εἰς ἀργύρεον μεταβαλεῖν, καὶ τοῦ τὸ ἀργύρεον εἰς χρυσίον, ἀσμένως ἄν τινα ἐξευροίμεθα τέχνην. ᾧ δὲ ἔνεστιν ἀνθρώπους εἴτε ἀπὸ τύχης, εἴτε ἀπὸ γνώμης ἀφηνιάσαντας αὖθις χειροήθεις ποιῆσαι, τοῦτον εἰ τὸ νουθετεῖν ἐάσας, τῷ ἐπὶ καιροῦ λελυπηκότι ἀδιάλλακτα ἀγανακτοίη, καὶ τοῦ βασιλεῖ προσήκοντος ἐπίπροσθεν ἄγοι τὸ θυμῷ κεχαρισμένον, πῶς οὐκ ἂν ἀτοπώτερος εἴη τῶν ἡνιόχων, οἳ τοὺς αὐθάδεις τῶν ἵππων οὐκ ἀποσφάττουσι παραχρῆμα, ἀλλὰ πρᾳοτέρους ποιήσαντες, χρῶνται βελτίοσι γεγενημένοις; ἔχω δέ σοι καὶ ἕτερον εἰπεῖν βασιλέα τοσαύτης μὲν οὐκ ἄρξαντα γῆς ὅσης Φίλιππος καὶ Ἀλέξανδρος, τῷ Πυθίῳ δὲ ὅμως παρασχόντα ἀμφισβήτησιν εἴτε θεὸν αὐτὸν προσρητέον, εἴτε ἄνθρωπον, Λυκοῦργον τὸν Σπαρτιάτην. τοῦτον τοίνυν οὐκ εἰς χρήματα ζημιωθεὶς, ἀλλ' αὐτὸν ἐκκοπεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, νέου τινὸς ξύλῳ πατάξαντος ἐν ἐκκλησίᾳ, παραλαβὼν τὸν ἐκκόψαντα οἴκοι πῶς ἐτιμωρήσατο; πῶς ἠμύνατο; ἀντέκοψε μὲν καὶ αὐτὸς, ἀλλ' οὐ τὸν ὀφθαλμὸν τοῦ ἐκκόψαντος, ἀλλὰ τῆς ψυχῆς τὴν θρασύτητα, ἀντὶ μοχθηροῦ πολίτου χρηστὸν ἀποφήνας. διὰ τοῦτο ἄρα ὁ Πύθιος τῆς μὲν ψάμμου τὸν ἀριθμὸν οὐκ ἐδίσταζεν ὁπόση εἴη, οὐδὲ τῆς θαλάσσης τοὺς χόας· τὸν δὲ βασιλέα τὸν οὕτω φρονοῦντα οὐκ εἶχεν ἀποφήνασθαι πότερον θεὸς ἢ ἄνθρωπος εἴη. σὺ δὲ οὐχ ἕνα ἐπραΰνας, ὥσπερ Λυκοῦργος, οὐδὲ ἕνα ἀντὶ ἐχθροῦ φίλον

εὖ ποιοῦντες ἀθανάτους καταλείπουσι τὰς μνήμας, ἀλλὰ καὶ οἱ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων τιμῶντες. ἀεὶ γὰρ ἕως ἂν ᾖ γένος ἀνθρώπων, οὐκ ἐπιλείψουσιν οἱ περὶ τοὺς θειοτέρους τῶν λόγων φιλοχωροῦντες. ὥστε ἀνάγκη διαδόσιμον γενέσθαι τὴν φήμην τῶν καλῶς αὐτῇ προσενεχθέντων, εἰς ἅπαντα σχεδὸν τὸν αἰῶνα.

ΤΟΥ ΑΥΤΟΥ, ΕΠΙ ΤΗΣ ΕΙΡΗΝΗΣ, Οὐάλεντι. Λόγος δέκατος.



ΜΗΝ ἐγώ σοι κατακορὴς ἤδη καὶ πλησμίος εἶναι, τοσαυτάκις ἔμπροσθεν διειλεγμένος. ὥστε δεῖν οὕτω ἀπόκνειν καὶ νῦν ποιήσασθαι πρόσοδον ἐπὶ τοῖς λόγοις, μὴ δόξαιμι ἐνοχλεῖν οὐδὲν δεομένῳ. ἀλλ' ἐπειδή με πάνυ προθυμούμενον ἠρεμεῖν οὐκ ἐᾷς, ἀλλ' ὥσπερ εἰς φορὰν ἐνιαύσιον φοιτᾶν οἴει σοι δεῖν με τὴν ἐκ τῶν λόγων συντέλειαν, ἐκεῖνο μὲν ἀναγκαῖον, αὐτόθεν δὲ ἔστω μοι τὸ προοίμιον. οὔτε γὰρ ἄλλο τι πρότερον τῶν σῶν ἀγαθῶν ἀπεδέξατο προσήκει τοῖς λόγοις ἢ τὴν περὶ ἑαυτοὺς προθυμίαν. καὶ δῆτα ἐπῄνουν σου τοῦτο πάλαι πρίν, ὦ βασιλεῦ, ὅτι τοῖς γεωργοῖς ἐπανιέναι προθυμῇ τὰ λειτουργήματα, τοῖς φιλοσοφοῦσι δὲ οὐ συγχωρεῖς. ἀλλὰ τοὺς μὲν ἥδεις ἂν ἴδοις καθ' ἕκαστον ἔτος ἔλαττον εἰσφέροντας ὧν προσήνεγκαν· παρὰ τῶν λόγων δὲ ἀεί τι πλεῖον εἰσπράττῃ. καὶ τόγε ἔτι τούτου θαυμασιώτερον, ὅτι καὶ τῶν λόγων αὐτῶν προτιμοτέρους ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων. αἴτιον δέ, οὐ γὰρ ἐκκρέμασαι τῶν ὀνομάτων, ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷς· οὐδὲ οὐ κάλλους τῶν ῥημάτων ἑάλωκας, ἀλλὰ τοῦ κόσμου τῆς διανοίας.

καὶ διὰ τοῦτο, ὡς ἔοικεν, ἐντιμοτέραν ἔχει παρά σοι τάξιν φιλοσοφία ῥητορικῆς. ὃ γὰρ μάλιστα ἀγαπᾷς, τοῦτο μάλιστα ἐσπούδακεν αὕτη ἡ τέχνη, τὸ ἰδεῖν παρέχεσθαι χρηστὸν, οὐχὶ τὰ ῥήματα, καὶ σκοπεῖν οὐχ ὅπως ἂν ἥδιστα εἴποι τις ἀκούουσιν, ἀλλ' ὅπως ὠφελιμώτατα. ὃ καὶ μάλιστα ἀρέσκον ἐραστῶν. πρὸς γὰρ τοὺς κολακεύοντας ὕποπτος ὢν, τοῖς νουθετοῦσιν εὔκολον σεαυτὸν παρέχεις καὶ χαρίεντα. Καλλισθένην μὲν γὰρ Ἀλέξανδρος, ὅτι παρῄνει τοῖς νομίμοις ἐμμένειν τῶν μακεδόνων, τὴν παῤῥησίαν οὐκ ἐνεγκὼν, ἀπεσείσατο. σὺ δὲ προσκαλεῖς τοὺς φιλοσόφους, κἂν ἀποκνῶσι· καὶ ὁπόσον σὺ χρόνον οὐκ ἔπεισι ἐπὶ χώρας μένεις, ἀνάγκης χειμάζεις τῶν λόγων. τοῖς στρατηγοῦσι δὲ οἱ φιλοσοφοῦντες ἐν ἴσῃ προεδρείᾳ, γνώμης ἅμα καὶ δυνάμεως σε θεραπευούσης. διὰ γὰρ τοῦτο καὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς γεννῶσιν οἱ ποιηταὶ τοῦ Διὸς, ἐνδεικνύμενοι καλῶς ὅτι προσήκει τῶν βασιλέων μήτε λόγον ἀπρακτον, μήτε πρᾶξιν ἄλογον ἐκφοιτᾶν, ἀλλὰ καὶ τὸν νοῦν ἐνεργὸν εἶναι καὶ γέμειν νοῦ τὸ δραστήριον. πιστοῦται δὲ καὶ τοῦτο ὁ προλαβὼν χρόνος. εἴτε γὰρ τὸν Ἀλέξανδρον ἐννοήσεις, εἴτε τὸν Σεβαστὸν, εἴτε τὸν Μάρκον, δι' οὐδὲν ἄλλο εὑρήσεις εἰς τοσοῦτον δόξης προεληλυθότας, ἢ ὅτι τῶν χλαμύδων οὐκ ἀπεκλῄου πολὺ τὰ τριβώνια, οὐδὲ Γαρμηρίωνος Ἀριστοτέλης ἀτιμότερος ἦν, οὐδὲ Ἄρειος Ἀγρίππου. ὅσοι δὲ ἢ φιλόσοφοι γεγόνασι πλέον ἢ φιλοπόλεμοι, καὶ τὸ δοκοῦν ὑπ' αὐτῶν ἀξιοῦσθαι σπουδῆς μέρος τῷ παροφθέντι συνηφανίσθη. οὐ γὰρ οἷόν τε ἢ λόγοις ἐνδόξοις γενέσθαι, μὴ τῶν ἔργων αὐτοὺς βεβαιούντων, ἢ τὰ ἔργα πρὸς τὸν χρόνον διαβιῶναι τὸν ἐφεξῆς, μὴ λόγου τινὸς μνήμην αὐτῶν παραπέμποντος. οἱ μὲν τοίνυν τῶν ποιητῶν λόγοι καὶ οἱ τῶν ῥητόρων ἴσως μὲν ἄλλο τι χρηστὸν ἔχοιεν

σῖ, οὗ δὲ μάλιστα ἐχρῆν πεφροντικέναι, τοῦτο παρορῶσι. τὸ γὰρ μέγεθος ἐν ταῖς πράξεσιν, οὐ τὴν ἀρετὴν, ἐπιζητοῦσι. καὶ διὰ τοῦτο τὰς παρατάξεις καὶ τοὺς πολέμους καὶ τῶν νεκρῶν τὸν ἀριθμὸν διατειβλὼ ποιοῦνται τοὺς λόγους, καὶ τὸ πολὺ τῶν ἐγκωμίων αὐτοῖς οἱ φόνοι καὶ αἱ πορθήσεις. εἰρήνην δὲ ἐν καιρῷ γενομένην καὶ μετὰ τοῦ πρέποντος σχήματος οὐδεὶς πώποτε ὑπέλαβε πολλῶν τροπαίων τιμιωτέραν. τὸ δὲ οὐχ οὕτως ἔχει· ἀλλὰ τοῦ νικῆσαι πολλάκις τὸ τὴν νίκην ὑπεριδεῖν ἐντιμότερον. ἐμοὶ δὲ τοῦτο ἔσται κεφάλαιον τοῦ παρόντος λόγου. οὐ γὰρ οὕτως ἀνήκοός εἰμι Πλάτωνος τοῦ θεσπεσίου, ὥστε τὰ αὐτοῦ μὴ μανθάνειν, ὅτι κολοβὸς καὶ βασιλεὺς καὶ νομοθέτης ὃς πολεμεῖν μὲν ἱκανὸς, εἰρήνην δ' ἄγειν οὐχ οἷός τε. ταύτῃ γὰρ, οἶμαι, καὶ Λυκοῦργον εὐθύνει τὸν Σπαρτιάτην, ὡς συστησάμενον πολιτείαν στρατευομένοις μὲν ἐπιτήδειον, καταθεμένοις δὲ τὰ ὅπλα δυσμεταχείριστον. τοῦτο δέ ἐστι τὸ βέλτιον τοῖν μεροῖν παρεωρακότος καὶ οὗ χάριν θάτερον ἀναγκαῖον. πολέμου γὰρ ἆθλον εἰρήνη. καὶ στρατεύονται οἷς ἀνάγκη, οὐχ ἵνα διὰ τέλους στρατεύοιντο, ἀλλ' ἵνα ἀσφαλῶς ἡσυχάσωσιν. ὅστις οὖν πρὸς μὲν ἀσχολίαν παιδεύειν ἱκανὸς, σχολὴν δὲ οὐχ οἷός τε διαθέσθαι, τῆς καλλίονος μοίρας ὀλιγωρεῖ. καὶ τοῦτο οὖν ἐγὼ Πλάτωνος θαυμάζω, καὶ ἔτι μᾶλλον ὅταν διδάσκῃ ὅτι πολέμου καὶ εἰρήνης σπέρματα ἐν ἑκάστῃ ψυχῇ πρῶτόν ἐστι· καὶ ὅστις οἷός τε πρὸς ἑαυτὸν ἄγειν εἰρήνην, οὗτος οἷός τε καὶ πρὸς τοὺς ἔξωθεν πολέμους· ᾧ δὲ ἀδύνατος ἡ πρὸς ἑαυτὸν ἐκεχειρία, σχολῇ ποτ' ἂν οὗτος τὰς πρὸς ἀλλήλους σπονδὰς ἀγαπήσειεν. ἔστι γάρ τι καὶ ἐν ἑκάστῳ βάρβαρον φῦλον, λίαν αὔθαδες καὶ δυσπειθὲς, τὸν θυμὸν λέγω καὶ τὰς ἀπλήστους ἐπιθυμίας, ἀντικαθήμενα

h. iiij.

γένη τῷ λογισμῷ, καθάπερ ῥωμαῖοι, σκύθαι καὶ γερμανοί. ὥσπερ οὖν τὰ πάθη ταῦτα ἡνίκα ἐπανίσταται τῷ βελτίονι, παντάπασι μὲν ἐξελεῖν οὔτε δυνατὸν, οὔτε συμφέρον, (ἃ χρείας ἕνεκεν ἡ φύσις ἐγκατέσπειρε τῇ ψυχῇ) ὑποκύπτοντα δὲ παρέχεσθαι καὶ ὑπήκοα τοῖς ἐκ τοῦ νοῦ παραγγέλμασι, τῆς ἀρετῆς ἔργον ἐστίν· οὕτω καὶ τῶν βασιλέων ἔργον, οἷς τοὔνομα τοῦτο ἐπαληθεύεται, ὅταν παρακινήσαντας καταλάβωσι τοὺς βαρβάρους, τὸ μὴ πρόρριζον ἐκκόπτειν παντελῶς τὸ συμπλήρωμα τῆς φύσεως τῆς ἀνθρωπίνης, ἀλλ' ἐπικόψαντας τὴν αὐθάδειαν, σώζειν ἤδη καὶ περιστέλλειν, ὡς τῆς ἀρχῆς μοῖραν γεγενημένους. ἔχει γὰρ οὕτως· ὅστις μὲν ἀχρείων ἐπέξεισιν ἅπαντας ἀδιασταμένως τοῖς βαρβάροις, οὗτος ῥωμαίων μόνων ἑαυτὸν βασιλέα ποιεῖ· ὅστις δὲ κρατεῖ μὲν, φείδεται δὲ, οἶδεν ἑαυτὸν βασιλέα πάντων ἀνθρώπων, καὶ μᾶλλον ἐκείνων οὓς διετήρησε καὶ διέσωσεν, ἐξὸν ἀνελεῖν παντελῶς. ὡς ἔγωγε οὐδὲ τὸν κομψὸν Ἀγαμέμνονα φαίην ἂν λέγειν βασιλικῶς, ἐπιτιμῶντα τῷ ἀδελφῷ μαλαττομένῳ πρὸς τὸν ἱκέτην, καὶ πικρὰν οὕτως εὐχὴν καὶ ἀλλόκοτον προστυχόμενον, μηδένα τῶν Τρώων διαφυγεῖν, ἀλλὰ καὶ τοὺς οὔπω τεχθέντας ἀπολέσθαι πρὸ τοῦ γενέσθαι. ἀλλ', ὡς ἔοικεν, οὐκ ἦν ὁ ῥυκφείων ἀληθινὸς, ἀλλ' Ἀργείων μόνων βασιλεὺς καὶ μυκηναίων, ἀνθρώπων δὲ οὔ. καίτοιγε Ὅμηρος ὅταν αὐτὸς ὀνομάζῃ τὸν Δία πατέρα, οὐ τῶν ἑλλήνων μὲν λέγει πατέρα, τοὺς βαρβάρους δὲ ἐξαιρεῖται· ἀλλ' ἁπλῶς φησι πατέρα θεῶν καὶ ἀνθρώπων. ὅστις οὖν καὶ τῶν ἐπὶ γῆς βασιλέων οὐ ῥωμαίοις μόνον ὡς πατὴρ προσσίνεται, ἀλλ' ἤδη καὶ σκύθαις, οὗτός ἐστιν ὁ τοῦ Διὸς ζηλωτὴς, καὶ οὗτος ὁ φιλάνθρωπος ἀτεχνῶς. τῶν δὲ ἄλλων Κῦρον φιλοπέρσην καλῶ, ἀλλ' οὐ φιλάνθρωπον· φιλομακεδόνα δὲ Ἀλέξανδρον, ἀλλ' οὐ φιλέλληνα· τὸν δὲ Σεβαστὸν, φιλορωμαῖον· ἄλλον δὲ ἄλλου γένους

ἐραστὴν ἢ ἔθνους, οὗ καὶ βασιλεὺς ὠνομάσθη φιλάνθρωπος δὲ βασιλεὺς ἁπλῶς, ὃς μηδένα ἀνθρώπων ὅλως ἀλλότριον τῆς ἑαυτοῦ προνοίας ποιεῖται. καλὸν μὲν οὖν καὶ τὸ περαιοῦσθαι τὸν ἴστρον σὺν τῇ τοῦ πολέμου παρασκευῇ, καὶ δὶς ἐφεξῆς ἀνάστατον ποιῆσαι τὴν πολεμίαν, σταθμοὺς τόσους καὶ τόσους ὅσους οὐδὲ πρεσβεύοντες πώποτε προσελθεῖν ἐθαρρήσαμεν. ἀλλ' εἰ καὶ τιμιὰ ταῦτα καὶ γενναῖα καὶ λίαν ὀλίγοις ὑπάρξαντα τῶν πώποτε αὐτοκρατόρων, ἀλλ' ὅταν ἐννοήσωμεν τὴν ἡμέραν ἐκείνην ἧς ἐγενόμην αὐτόπτης, τότε σοι τῆς τε Ξέρξου σχεδίας ἐφ' ἧς διεβίβασε σὺν τῇ στρατιᾷ τὸν ἑλλήσποντον, φαίνεται ἀμείνων ἡ μία ναῦς ἐφ' ἧς ὁ βασιλεὺς τὰς σπονδὰς ἐποιήσατο, καὶ τῆς γεφύρας τῆς διακομιζούσης τὸν πόλεμον ἡ διαδιδοῦσα ὁλκὰς τὴν εἰρήνην. ἐγὼ παρατάξεις μὲν οὐ τεθέαμαι σκυθικάς, ἐκκλησίαν δὲ φόβου, καὶ συνέδριον καταπλήξεως, καὶ στρατηγὸν ῥωμαίων ἐπιτάττοντα σκυθῶν βασιλεῖ· καὶ ἀλαλαγμοῦ μὲν οὐκ ἀκήκοα βαρβαρικοῦ, θρήνων δὲ καὶ ὀδυρμῶν καὶ δεήσεων, καὶ φωνῆς αἰχμαλώτοις μᾶλλον ἢ σπενδομένοις πρεπούσης· ὑφ' ὧν ἐπεκλάσθη τις ἂν καὶ ἀδαμάντινος στρατιώτης. ἀλλὰ βασιλεὺς τῶν μὲν βαρβάρων πολλὰς ἀπέσκεψεν εἰς τοὐπίσω πρεσβείας ἀπράκτους, τὴν δὲ ὑμετέραν κατῃδέσθη. καί, ὡς ἔοικεν, ὑπὲρ σκυθῶν ὑμεῖς ἐχειροτονήσατε φιλοσοφίαν τὴν μόνην θείαν τε οὖσαν καὶ δίκαιον θυμὸν καταπραΰνειν. ὥστε μοι τότε μάλιστα ἔργον ἦν τοὺς ὑπὲρ φιλανθρωπίας λόγους ἐκμελετᾶν, καὶ δεικνύναι τῷ βασιλεῖ ὅτι μᾶλλον θεῷ παραπλήσιοι τῶν ἀναιρούντων οἱ σώζοντες. μόλις μὲν οὖν καὶ χαλεπῶς, ἀλλὰ συνεπείσθη· καὶ εἶξε, καὶ προσωρμήσατο πλησίον, σὺν ἀσθενεστέρῳ τῷ σχήματι. ὁ μὲν οὖν τρωϊκὸς ποταμὸς ἐμποδὼν καθίστατο Ἀχιλλεῖ κατὰ τῶν τρώων παροξυνομένῳ, θορυβῶν τῷ ἀφρῷ καὶ τοῖς κύμασι τὸν νεα-

τίαν. ἵστορες δὲ ἐπὶ πολέμῳ μὲν βασιλέως περαιουμένου, ἐζεύγνυτο ἄκων, ἀπενδεὴς ᾗ μέλλοντι συμπροθυμεῖτε, καὶ γαλήνην ἐθελοντὴς ὑπεστρώννυε ταῖς τὴν εἰρήνην πρυτανευούσαις τριήρεσιν. ἐσάλευον μὲν οὖν ὥσπερ ἐν ὅρμῳ τῷ ῥείθρῳ· καὶ ἔδοξας ἂν ἐρριζῶσθαι τὰς ναῦς ταῖς ἀγκύραις. εὐθὺς δὲ ἐκ προοιμίων ὅτι συνεχώρει τὰ σφέτερα αὐτοῖς καρποῦσθαι, δῆλον ἐποίει, προσχὼν μὲν πλησίον, ἀποβῆναι δὲ μὴ θελήσας. οἱ δὲ ἐξεκέχυντο ἀγεληδὸν ἐπὶ τῆς ὄχθης ἥμεροι καὶ χειροήθεις, πλῆθος οὐ ῥητὸν ἀριθμῷ, πότε δὴ προσφότον θαίοις μυριάδες τοσαῦται Σκυθῶν αἱ ἐν φροντίσιν ὁρώμεναι. Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενὲς, ὀλβιόδαιμον, εἶπεν ἄν τις ἀπιδὼν τηνικαῦτα εἰς ἄμφω τὰς ἠϊόνας τοῦ ποταμοῦ, τὴν μὲν ἀστράπτουσαν τοῖς στρατιώταις ἐν κόσμῳ τὰ δρώμενα θεωμέναις μετὰ φρονήματος καὶ ἡσυχίας, τὴν δὲ ὁμάδου γέμουσαν συμμιγοῦς ἐπὶ γῆς ἐρριμμένων τῶν ἱκετῶν. μᾶλλον δὲ εἶπεν ἂν σε καὶ τοῦ Ἀγαμέμνονος ὀλβιώτερον. ὁ μὲν γὰρ οἷς ἦγε μόνον ἐμακαρίζετο, σὺ δὲ καὶ οἷς εἶχες καὶ οἷς συνεχώρεις. ἕτερος μὲν οὖν τῆς πρὸς Ἕλληνας ναυμαχίας οὔ τι θεατὴς ἦν ἀνδρεῖος, ἀλλ' ἐκάθητο ὑπὸ σκηνῇ χρυσῷ σκιαζόμενος ὀρόφῳ, μαλακίας μᾶλλον ἢ πλούτου σημεῖον. βασιλεὺς δὲ καὶ ἐν ταῖς σπονδαῖς ἐπεδείκνυτο τὴν καρτερίαν ἣν οὐκ ἂν ἤνεγκαν πολεμούμενοι, ἐφ' ἡλίῳ στὰς ἐπὶ τῆς νεὼς, ἡνίκα μάλιστα ἑαυτοῦ φλογωδέστερος ἦν, ἐπὶ ταὐτοῦ σχήματος ἐξ ἕω μέχρι δείλης ὀψίας. καταστὰς δὲ ὑπὲρ τῶν δικαίων εἰς ἀγῶνα πρὸς τοὺς βαρβάρους, νίκην ἐνίκα σεμνοτέραν καθ' ἑαυτὸν ἧς οὐδεὶς ἔτι κοινωνὸς ἦν, οὐ στρατηγὸς, οὐ ταξίαρχος, οὐχ ὁπλίτης. ἀλλ' ἐγὼ πάλαι μὲν τὴν ἀγχίνοιαν μόνον ἐπεθαύμαζον, ἣ χρώμενον εἰς τὰ πράγματα καθεώρων, καὶ φύσεως ᾤμην κατόρθωμα

εἶναι αὐτοφυῆ βασιλέα δημιουργούσης. δεινότητα δὲ τοσαύτην καὶ βάθος ὁμοῦ διανοίας, καὶ δρόμον ῥημάτων κεκραμένον καταπλήξει καὶ εὐμενείᾳ, οὐδὲ ἐν ῥήτορι πρὸς τὸ ἔργον ποιουμένῳ ῥᾳδίως κατεῖδον. ὥστε μοι μικρὸς ἐφαίνετο ὁ Περικλῆς, καὶ ὁ τὸν Περικλέα τεθαυμακώς, ὅτι καὶ θαρσοῦντας Ἀθηναίους λέγων κατέπληττεν εἰς τὸ φοβεῖσθαι, καὶ δεδιότας εἰς τὸ θαρσεῖν αὖ ἀποκαθίστη. αἰσθανόμεθα οὖν πρὸς τοὺς λόγους τοῦ βασιλέως τὰ αὐτὰ τῶν βαρβάρων παθόντων ἃ πάλαι οὐδὲν ἦν θαυμαστὸν ὑπὸ τοῦ δεινοτάτου τῶν τότε ῥητόρων τοὺς Ἕλληνας καὶ Ἀθηναίους. καίτοιγε προήγορον εἶχον οὐδέτερα ληπτόν, οὐδὲ ὥσπερ γλώττῃ βάρβαρον, οὕτω δὲ καὶ τῇ διανοίᾳ, δῆλον τῷ συνεῖναι μᾶλλον σοφώτερον ἢ ἐν τοῖς ὅπλοις. οὕτω γοῦν τὴν μὲν τοῦ βασιλέως ἐπωνυμίαν ἀπαξιοῖ, τὴν τοῦ δικαστοῦ δὲ ἀγαπᾷ· ὡς ἐκεῖνο μὲν δυνάμεως παράσημα, τὸ δὲ σοφίας. ἀλλ' ἐφαίνετο δή ποτε λίαν τοῦ δικάζειν αὐτὸ τὸ δικάζεσθαι χαλεπώτερον, καὶ διηλέγχθη γελοῖος ῥήτωρ ὁ ἰσχυρὸς ἄρειος εἶναι πεπιστευκώς. τοσοῦτον γὰρ αὐτοῦ τῇ δεινότητι περιῆν ὥστε τὸν συνήγορον τοῖς βαρβάροις ὕποπτον ποιῆσαι, καὶ καταστῆσαι τοῦ μετὰ τῶν ὅπλων ἀγῶνος τὸν διὰ τῶν λόγων αὐτῷ χαλεπώτερον. ἀλλ' ὅμως καταβαλών, εἶτα ἀνίστη καὶ χεῖρα ὤρεγε θορυβουμένῳ, καὶ φίλον ὑπὸ μάρτυσιν ἐποιεῖτο τοῖς ἀδικεῖσθαι πεπιστευκόσι. τοῦτο δὲ ἦν διαλύοντος τὴν ταραχὴν εἰς ἣν κατέστησεν. ἀπῄει οὖν λίαν ἀγαπητῶς, τοῖς ἐναντίοις πάθεσι κατειλημμένος, θαρσῶν ἅμα καὶ δεδοικώς, περιφρονῶν τοὺς ἀρχομένους καὶ ὑφορώμενος· οἷς μὲν διηλέγχθη, καταπεπληγὼς τὴν ψυχήν, οἷς δὲ ἔτυχε τῶν σπονδῶν, ἀπαυθαδιαζόμενος. ἦν οὖν θέαμα ἰδεῖν ἄπιστον καὶ διὰ πολλοῦ συμβεβηκός, διδόντας τὴν εἰρήνην ῥωμαίοις, οὐκ αἰτουμένους.

οὐδεὶς εἶδε χρυσίον ἀπαριθμούμενον τοῖς βαρβάροις, οὐκ ἀργύρου τάλαντα τόσα καὶ τόσα, οὐκ ἐσθῆτος ναῦς γεμιζομένας, οὐχ ἃ πρότερον ὑπομένοντες διετελοῦμεν, βαρυτέραν τὴν καταδρομὴν ἐκκαρπούμενοι τὴν ἡσυχίαν, καὶ φόρον ἐτήσιον φέροντες, οὗ τὸ ἔργον οὐκ αἰσχυνόμενοι, τοὔνομα ἐξηρνούμεθα. βασιλεὺς δὲ καίτοι μεγαλοδωρότατος ὤν, ὅμως τηνικαῦτα οὐκ ἠσχύνθη φειδωλότατος νομισθῆναι, ὅς γε καὶ τὸ συνῆθες αὐτῶν σιτηρέσιον παρῄρειτο, καὶ αἰτούντων τοσῶνδε τῶν πρότερον κομιζομένων μόλις ἑνὶ συνεχώρει, τῷ πρὸς τὴν γλῶτταν διακονοῦντι· ὡς οὐδὲν μᾶλλον τοῦ ἔργου Σκύθαις ἢ Ῥωμαίοις προσήκοντος. οὕτω δὲ διὰ πάντων ἐφιλονείκησε δῆλον ποιῆσαι οὐκ ἀγαπήσας αὐτοῖς τὴν εἰρήνην, ἀλλὰ φεισάμενος τῶν βαρβάρων. ὥστε οὐδὲ τὰς ἐμπορείας αὐτοῖς οὐδὲ τὰς ἀγορὰς, ἃς ἐπὶ τῆς προτέρας εἰρήνης ἐπ' ἀδείας εἶχον ὅποι βούλοιντο ποιεῖσθαι, νῦν ἐπ' ἐξουσίας ἐγκαταφῆκεν. ἀλλὰ καίτοι τοῦ κέρδους ὑπάρχοντος κοινοῦ τοῖς ἔθνεσιν ἀμφοτέροις ἐκ τῆς ἀμοιβῆς τῶν ἐν χρείᾳ συναλλαγμάτων, δύο μόνας πόλεις τῶν τῷ ποταμῷ προσῳκισμένας ἐμπόρεια κατεσκευάσατο. τοῦτο δὲ ἦν ἅμα μὲν σημεῖον τοῦ πάντα ἐπιτάττοντα τοῖς βαρβάροις τὰς σπονδὰς ποιεῖσθαι, ἅμα δὲ πρόνοια τοῦ κακουργοῦντας ἧττον λανθάνειν, ἀποκεκλεισμένης αὐτοῖς εἰς τὰ ὡρισμένα χωρία τῆς ἐπιμιξίας. γινώσκει γε, οἶμαι, σώζειν τοὺς βαρβάρους δυνάμεως ἔχων, τὴν φύσιν δὲ αὐτῶν ἀμείβειν οὐχ οἷός τε ὤν· ὥστε ἀφῄρητο αὐτῶν τὴν ῥᾳστώνην τῆς ἀπιστίας. διὰ τοῦτο γὰρ καὶ τῶν φρουρίων τὰ μὲν ᾠκοδόμησεν ἐκ καινῆς, τὰ δὲ αἰέσησι καταπεπειμμένα, τοῖς δὲ προσέθηκε τὸ ἐνδέον, ὕψους μὲν ᾗ χθαμαλώτερον ἦν, πάχους δὲ ὅπου τούτου προσέδει, ὑδάτων δὲ ἀφθονίαν, ᾗ ταύτῃ πρότερον ἐπιέζετο, ἐφοδίων δὲ θησαυροὺς ἁπανταχοῦ καὶ λιμένας τῆς γειτνιώσης θαλάσ-

τῆς, ἢ γὰρ στρατιώτας ἐκ καταλόγου, καὶ φρουροὺς τὸν ἀριθμὸν οὐ ψευδομένους· καὶ ὅπλα καὶ βέλη καὶ μηχανήματα ἅπαντα εἰς τὸ ἔσχατον ἐξητασμένα. τέως μὲν γὰρ ἐκ τῆς περὶ τὰς φρουρὰς ὀλιγωρήσεως ἐπεπιστεύκεισαν οἱ πολέμιοι ἐπ' αὐτοῖς ἀτεχνῶς κεῖσθαι καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην· ὁρῶντες τοὺς μὲν στρατιώτας οὐ μόνον ἀνόπλους, ἀλλὰ καὶ ἀχίτωνας τοὺς πολλοὺς, καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι καταπεπτωκότας, φρουράρχας δὲ καὶ ταξιάρχας, ἐμπόρους μᾶλλον καὶ τῶν ἀνδραπόδων καπήλους, οἷς τοῦτο μόνον ἔργον προὔκειτο, πλεῖστα μὲν ὠνήσασθαι, πλεῖστα δὲ καὶ ἀπεμπολῆσαι, τῶν φυλάκων δὲ ἐλαττοῦσθαι τὸν ἀριθμόν· ὅπως ἂν γίνοιτο κέρδος αὐτοῖς ἡ μισθοφορὰ τῶν ἐκλειπόντων. ταῦτα δὲ τὰ φρούρια κατερρυηκότα, γυμνὰ καὶ ἀνθρώπων καὶ ὅπλων. ταῦτ' οὖν ὁρῶντες, οὐκ ἀπεικότως ἐφρόνουν ἑαυτοὺς εἶναι ἀμείνους αὐτῶν ἐκδεχομένων. κἂν ἄρα δοκῇ τὸν ἐκ τοῦ προφανοῦς πόλεμον πως δυσωπεῖσθαι, ἀλλὰ τό γε κλωπεύειν αὐτοῖς ἐπ' ἀδείας καθεστηκέναι. διεσπείροντο οὖν ἁπανταχόσε τῆς ὄχθης οὐ καθ' ἕνα καὶ δύο μόνον, ἀλλ' ἤδη καὶ κατὰ λόχους καὶ συλλαμούς, λῃσταὶ δήπου, οὐ στρατιῶται, φώρια τὰ λάφυρα ὀνομάζοντες· ἀλλ' οὐ νῦν. ἀλλ' ἄνωθεν μέχρι θαλάττης δόξαις ἂν τεῖχος ἀδαμάντινον ἐληλάσθαι. τοιούτῳ καταπεπύκνωται χαρακώματι φρουρίων, ὅπλων, στρατιωτῶν. ἵνα γὰρ τἄλλα παρῶ, ἓν ἐξαρκεῖ τεκμήριον ἐκλογίσασθαι τῆς περὶ ταῦτα ἐπιμελείας. ἐρῶ δὲ οὐκ ἀκοὴν ἀλλοτρίαν, ἀλλ' ὧν αὐτὸς γέγονα θεατής. ἴστε δήπου τοῦτο ὅσοι γεγόνατε ἐπὶ τῆς χώρας ἐκείνης, ἣ καλλίστη μὲν ἐστι τῆς Σκυθικῆς τῆς ὑπηκόου, ἥκιστα δὲ ἀσφαλὴς πρὸς τοὺς βαρβάρους, ἄθρου διαρρέοντος αὐτὴν τοῦ ποταμοῦ· ἀλλ' ἀναπτυσσομένου τῇ γῇ, καὶ τεναγοὺς κόλπον ποιοῦντος εἰσέχοντα ἐπὶ πολὺ τῆς ἠπείρου, οὔτε ναυσὶν ὄντα πλωτὸν, οὔτε βατὸν πεζού-

σίμοις. αὕτη τοίνυν ἡ χώρα πρὸς μὲν ὁρμητήριον καθεστήκει ταῖς ἐκδρομαῖς τῶν πολεμίων, στρατῷ μὲν ἀθρόῳ καὶ περιφανεῖ μὴ θαρρούντων, διὰ τὸ πρόσχημα τῆς εἰρήνης, κλωπείας δὲ καὶ κακουργίας ἐν τοῖς μονήρεσι πλοίοις ποιούμενοι καὶ ναυλοχοῦντες περὶ τὰς νησῖδας ἀνέπιπλον ἐξαίφνης τοῖς περιοικοῦσιν· εἶτα ἐν ὅσῳ συνῃσθάνοντο οἱ φρουροὶ πόρρωθεν ἀλλήλων ἀφεστηκότες, καταδραμόντες ὅσα τε ἦν δὴ, εἰσκατεδύοντο τῷ ποταμῷ· τοὐντεῦθεν δὲ ἄπορον ἦν τὸ διώκειν, μήτε πλεῖν μήτε βαδίζειν συγχωροῦντος αὐτοῖς τοῦ τενάγους. καὶ τὸ πρᾶγμα οὐκ ἦν ἀνεκτὸν, ἐν ὀφθαλμοῖς λεηλατεῖσθαι ἀμηχανοῦντας πρὸς τὴν τιμωρίαν. ἀλλ' ὁ βασιλεὺς οὔτε πρὸς τὴν φύσιν τοῦ τόπου δυσμήχανος ἦν. ἀλλ' ἐξευρὼν τῆς γῆς ἐκείνης λεπτὴν ταινίαν ἐς τὸ τέναγος προσιοῦσαν καὶ τελευτῶσαν εἰς ὄχθον ὑψηλὸν, ἐξ οὗ πᾶν τὸ πέριξ ἄποπτον ἦν, ἐπιτείχισε φρούριον ἐκ καινῆς, ἀμυδροῖς τείχεσιν ἀκολουθήσας, ἃ τῶν πρότερόν τις αὐτοκρατόρων διὰ μὲν τὸ χρήσιμον κατεβάλετο, πρὸς δὲ τὴν δυσχέρειαν ἀπεῖπεν. ὅπου γὰρ οὐ λίθος πλησίον, οὐ πλίνθος ὀπτὴ, οὐ κονία μετὰ ῥᾳστώνης, ἀλλὰ σκευαγωγεῖν ἅπαντα χρὴ σταδίους τόσους καὶ τόσους μυριάσιν ὑποζυγίων, τίς οὐκ ἂν συνέγνω τοῖς ἀποστᾶσιν ὡς ἀμηχάνου τῆς ἐπινοίας; βασιλεὺς δὲ ἐνίκα τὴν Ἀμφίονος μουσικὴν, ἣν ἐκεῖνος εἰς τὸν τειχισμὸν τῶν Θηβῶν ἐνεδείξατο, εἴπερ αὐτομάτους μὲν φέρεσθαι τοὺς λίθους, αὐτομάτην δὲ τὴν πλίνθον, τεκτόνων δὲ ἄνευ καὶ λιθολόγων ἀνιέναι τὸ ἐπιτείχισμα. τοσαύτη μὲν ἡ τῶν στρατιωτῶν εὐπείθεια, τοσαύτη δὲ ἡ λίαν χαλεπῶν εὐκολία. καταννείμας γὰρ εἰς ἅπαντας τὴν φροντίδα, καὶ μηδὲν μέρος συγχωρήσας τῆς στρατιᾶς ὑπὲρ δύναμιν πιεσθῆναι, ἀλλ' ὥσπερ φορτίον τὸ ἔργον εἰς μικρὰ διελὼν, οὐκ εἴασεν οὐδ' ἐνταῦθα αἰσθέσθαι τοῦ ἄχθους, τῷ πάντας μερίτας

ποιῆσαι, καὶ πρὸ τοῦ γε ἑαυτὸν ἐκ τοῦ πλείονος. ἆρα πιστεύσητέ μοι ὅτι μηδὲ τῶν καπυναστῶν ἀπέσχετο, μηδὲ τῶν προσκοίτων, ἀλλὰ κἀκεῖνοι συνεισήνεγκαν μέτρον ὡρισμένον κεράμου συντετριμμένου; ἐγὼ δὲ τέως ἐθαύμαζον τὸ Ἀλκίφρονος Δημοσθένην τοῦ περιστιχίσματος τῆς σφακτηρίας, ὅτι τοῖς στρατιώταις οὕτως ἐχρήσατο εὐηκόοις, ὥστε δι' ἀπορίαν σκευῶν, τὸν πηλὸν φέρειν ἐπὶ τῶν νώτων, ὀπίσω τὼ χεῖρε συμπλέκοντας, ἀνθρώποις οὐ πλεῖν ἢ χιλίοις, καὶ τούτοις ἐρέτας μᾶλλον ἢ ὁπλίτας, ὑπὸ χειμῶνος ἀπειλημμένοις, θριγκίον ἐν τεῖχος κατασκευάζοντας. ὅπου δὲ ταξίαρχοι καὶ στρατηγοὶ ἀχθοφορεῖν οὐ παρῃτοῦντο, πῶς ἄν τις ἀγάσαιτο πρὸς ἀξίαν ἢ τὸν παιδεύσαντα οὕτως ἢ τοὺς οὕτω πεπαιδευμένους; καὶ νῦν παρατέταται μὲν ἡ εἰρήνη διὰ πάντων σχεδὸν τῶν μεθορίων, παρατέταται δὲ ἡ τοῦ πολέμου παρασκευή. οἱ δὲ γὰρ βασιλεῖς ὡς ἐκεῖνοι μάλιστα ἀληθεύουσιν ὅσοι μάλιστά εἰσι πρὸς τὸν πόλεμον ηὐτρεπισμένοι· γέμει δὲ ἡ μὲν ὄχθη φρουρίων, τὰ δὲ δὲ φρούρια στρατιωτῶν, οἱ στρατιῶται δὲ ὅπλων, τὰ δὲ ὅπλα κόσμου ἅμα καὶ ἀσφαλείας. καὶ ῥυφὴ μὲν ἐξελήλαται τῶν καταλόγων, πρυτανεία δὲ ἀνέστηκε τῶν ἀναγκαίων. δι' ἣν οἱ φρουροῦντες οὐκ ἀναγκάζονται ἀντὶ τῶν βαρβάρων πολεμεῖν τοῖς ὑπηκόοις, κἀκείνων μὲν ἀπέχεσθαι διὰ τὰς σπονδάς, φέρειν δὲ καὶ ἄγειν τοὺς γεωργοῦντας διὰ τὴν ἔνδειαν· ἀλλ' ἀντεστράφθαι οὐκ οἶδ' ὅπως τοῖς στρατιώταις πρὸς τὴν εἰωθυῖαν τάξιν ὁ φόβος καὶ ἡ θρασύτης. καταφρονοῦσι μὲν γὰρ τῶν βαρβάρων, ὑπερδεδοίκασι δὲ τοὺς γεωργούς. καὶ τὸ παρ' ἐκείνων μέμψιν ὑπομεῖναι, φοβερώτερον αὐτοῖς ἢ μυριάδες σκυθῶν ἐπιοῦσαι. οὕτω καὶ ἔξωθεν καὶ ἔνδοθεν ἡμᾶς εἰρήνη κατέχει, τοὺς πολεμίους μὲν ὁ τῶν ὅπλων φόβος, τοὺς στρατιώτας δὲ ὁ τῶν νόμων. διείργει δὲ σκύθας ῥωμαίων οὐ ποταμὸς,


οὐ πάταγος, οὐ θριγγία, (ταῦτα μὲν γὰρ αὖ τις καὶ διακόψειε καὶ διαπλάσειε καὶ ὑπερβαίη) ἀλλὰ φόβος ὃν οὐδεὶς πώποτε ὑπερέβη, καταδεέστερα εἶναι πεπιστευκώς. καὶ τρόπαιον ἔστηκε ταύτης τῆς νίκης, οὐκ ἐκ λίθου πεποιημένον, οὐδὲ χαλκοῦν ἢ χρυσοῦν πεπηγὸς ἐφ' ἑνὸς χωρίου, ἀλλ' ἅπασι μὲν βαρβάροις ἅπασι δὲ ῥωμαίοις ἐνδιαιτώμενον. καὶ τοῦτο ἀνέστησεν βασιλεὺς οὐ πλήθει φόνων καὶ τραυμάτων, οὐδὲ σωροῖς νεκρῶν ἀδιηγήτων, ἀλλὰ μόνῃ τῇ προσεδρίᾳ καὶ τῇ καρτερίᾳ. ἦν τις ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πύκτης ἀνὴρ, Μελαγκόμας ὄνομα αὐτῷ, κάλλιστός τε καὶ μέγιστος καὶ τὴν τέχνην εὐδοκιμώτατος, οὗ δὴ τὸν Τίτον φασὶν ἐραστὴν γενέσθαι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε τρώσας, οὐδὲ πατάξας, μόνῃ τῇ στάσει καὶ τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκναιε τοὺς ἀντιπάλους. ἀπῄεσαν οὖν τῇ μὲν φειδοῖ χαίροντες, τῆς δὲ παρασκευῆς ἡττημένοι. τοῦτο καὶ πρὸς τὸν βασιλέα νῦν πεπόνθασιν οἱ πολέμιοι. νενίκηνται γὰρ ἄνευ τοῦ παρατάξαντος, καὶ πεπτώκασιν ἄνευ τοῦ στῆναι. οὐ γὰρ τοῖς σώμασιν ἥττηνται, οὐδὲ τοῖς ὅπλοις, ὑφ' ὧν καὶ οἱ βελτίους πολλάκις ἐλαττοῦνται τῶν φαυλοτέρων, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ διανοίᾳ, καὶ τῷ πολὺ χείρους εἶναι πεπεῖσθαι. οὐκοῦν περίεστιν αὐτοῖς ἢ κλέμμα στρατηγῶν αἰτιάσασθαι, ἢ ἐνέδραν ἢ δυσχωρίαν, ἢ τὸ ἀδοκήτως ἐπιπεσεῖν, ἃ δίδωσιν ἐλπίδα τοῖς ἡττημένοις τοῦ πάλιν ἐκ τῆς ἴσης ἀναμαχέσασθαι. ἀλλὰ καὶ χρόνον προσλαβόντες εἰς παρασκευὴν καὶ πόλεμον νόμιμον καὶ προφανῆ πολεμούμενοι, οὐχ ὑπήνεγκαν τὴν προσβολὴν τοῦ βασιλέως, ἣν προσβαλλόμενος ἐν τρισὶν ὅλοις ἐνιαυτοῖς, ἀπειπεῖν ἠνάγκασε τοὺς δειλαίους· ἐν οἷς οὔτε χειμῶνος ἀντεπελθεῖν, οὔτε θέρους ἀντιστῆναι τολμήσαντες, δὶς καθ' ἕκαστον ἔτος ἠλαύνοντο, καὶ νῦν περίεστιν ἡμῖν οὐ τοὺς νεκροὺς ἀριθμεῖν, ὅσον κρείττους γεγόναμεν, ἀλλὰ τοὺς ζῶντας·

οὐδὲ

οὐδὲ κεκρατηκέναι μὲν, οἷς δὲ ἐκρατήσαμεν μὴ ἔχειν. οὕτω γίνονται κρείττους ἄνθρωποι ἀνθρώπων, ἐκείνους δὲ, ἄρκτων καὶ συῶν καὶ παρδάλεων. καίτοι γε ἐκείνων σπέρμα κυνηγετῶν τις ὑπολιμπάνοι μὲν, ὁ δὲ ἐξαίρων παντελῶς, ἀλιτήριος τῆς ἄγρας νομίζεται. εἶτα θηρίων μὲν τῶν ἀγριωτάτων, ἃ διείργει πρὸς ἡμᾶς οὐχ ὅρος οὐδὲ ῥοῦς, ἀλλ' ἡ φύσις αὐτὴ, φειδὼ ποιούμεθα, ὅπως ἂν τῇ φύσει σώζοιτο καὶ διαμένοι, καὶ δυσχεραίνομεν ἐξῃρημένων ἐκ λιβύης μὲν ἐλεφάντων, ἐκ θετταλίας δὲ, λεόντων, ἐκ δὲ τῶν ἑλῶν τῶν περὶ τὸν νεῖλον, τῶν ἵππων τῶν ποταμίων· ἔθνος δὲ ἀνθρώπων, καὶ εἰ πάνυ φαίη τις βαρβάρων, ἀλλὰ ἀνθρώπων, ἐπήκοος, ὑποκύπτον, ἐφ' ἡμῖν κεῖσθαι ὁμολογοῦν, οὐ θαυμασόμεθα τὸν μὴ παντελῶς ἐξελόντα, ἀλλὰ περιποιησάμενον καὶ φεισάμενον; ἀναμιμνήσκομαι δὲ ὅτι τῶν παλαιῶν αὐτοκρατόρων ὁ μέν τις ἀχαϊκὸς ἐπεκλήθη, ὅτι τὴν ἑλλάδα ἀνάστατον ἐποίησε· μακεδονικὸς δέ τις ἕτερος, ὅτι τὴν μακεδονίαν ἔρημον καὶ ἀοίκητον. Σκηπίων δὲ ὁ μέγας ἐκεῖνος, ὁ τοῦ πάνυ Σκηπίωνος υἱιδοῦς, τὸν ἀφρικανὸν ἐκτήσατο ἐπώνυμον παρὰ τοῦ δήμου καὶ τῆς γερουσίας, ὅτι καρχηδόνα ἀπειποῦσαν καὶ παντελῶς ἐκπεψυχωμένην εἰς ἔδαφος κατέρραξε καὶ ἠφάνισεν. εἰ δὲ ἐξ ὧν ἀπώλλυον οὗτοι, τὰς ἐπικλήσεις ἐκομίζοντο δικαίως, πολλῷ δικαιότερον ἂν ἐξ ὧν περιεποίησας ὀνομάζοιο. οὕτω γὰρ καὶ τοὺς θεοὺς οἶμαι καλοῦμεν, τὸν μὲν Δία πελασγικὸν, ἀμυκλαῖον δὲ τὸν Ἀπόλλωνα, κυλλήνιον δὲ τὸν Ἑρμῆν, ἐξ ὧν μάλιστα ἀγαπῶσι χωρίων, καὶ ἃ μάλιστα διασώζουσι. τίνα οὖν ἐπικαλεῖσθαι μάλιστα γοτθικὸν προσήκει, δι' ὃν εἰσὶ γότθοι καὶ σώζονται, ἢ δι' ὃν οὐκέτ' ἂν ἦσαν, εἰ παρείλετο; Πύρρος ἦν ἠπειρωτῶν βασιλεὺς, πολλὰ μὲν μακεδόσι, πολλὰ δὲ ἕλλησιν ἐνοχλήσας, τὰ δὲ τελευταῖα καὶ ῥωμαίοις παρασχὼν πράγματα· οὗτος πολλάκις κρατήσας πολ-

λάκις, οὐδεπώποτε ἠγάπησε τὰ παρόντα, ἀλλ' ὧν οὔπω κύριος ἦν, μόνα ἑώρα. συνέβη τοίνυν αὐτῷ πολέμους ἐκ πολέμων ἀλλαττομένῳ ἐν τῷ νικᾶν ἀναλωθῆναι· καὶ οὐδὲν ὤνησε Κινέας πόρρωθεν αὐτοῦ τὴν ἀπληστίαν ἐπιρραπίζων· ὅτι τῶν πολλῶν καὶ αἰωνίων κινδύνων ἐκείνων τὸ πέρας οἴκοθέν ἐστιν ὅταν διαπραγήσῃ. οὗ καὶ νῦν ἔξεστιν οἴκοι καθημένῳ, καὶ ἣν παρέλαβεν ἀρχὴν διασώζοντι, ἀπολαύειν μετ' ἀσφαλείας. ἀλλ' οὐχ ἵστησι τοὺς ἀεὶ τοῦ πλείονος ὀρεγομένους πέρας οὐδέν, οὐδὲ ὅρος οὐδείς, οὐδ' ἂν πέλαγος εἴπῃς ἀτλαντικόν. οἷς γὰρ οὐ πέπηγεν ὅρος ἐν τῇ ψυχῇ, οὐδὲ ἐν τῇ γῇ. πολεμοῦσι δέ, τὴν ἑαυτῶν ἐμπιπλάντες ἐπιθυμίαν, οὐ τοῦ κοινῇ συμφέροντος προνοούμενοι. ἀλλ' οὐ βασιλεύς, ἀλλ' ἄρχει τούτου χαλεπὸς καὶ ἀπαραίτητος ἄχρις ἂν τὸ κοινὸν ὕποπτον ᾖ· τούτου δὲ αὐτῷ εὖ τεθειμένου, τὰ λοιπὰ εἶναι δοκεῖ περιττὴ φιλοτιμία. ἀλλὰ τὰ μὲν πρὸς τοὺς βαρβάρους εὖ ἔχει καὶ ἕξει· σὺ δέ μοι τὴν εἰρήνην τοῖς ὑπηκόοις ἔγκαρπον ποίει καὶ ἐνεργόν, καὶ χωρείτω διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς ἀρχῆς. ἄκουε γὰρ Πλάτωνος τοῦ θεσπεσίου ὅτι μήτε Κῦρος μήτε Δαρεῖος βασιλεὺς ἦν· πολλῷ δὲ μᾶλλον τὸν Ἀλέξανδρον οὐκ ἂν ἔφη. ἐοίκασι γὰρ ἅπαντες οὗτοι, καθάπερ σώματος, τῆς ἀρχῆς, ὅπως μὲν τὸ ἔξωθεν φανήσεται, προϊδεῖν, ὅπως δὲ καὶ ἔνδοθεν ὑγιαίνοι, μὴ φροντίσαι. καὶ δῆτα συμβέβηκεν αὐτοῖς, στρατηγοῖς μὲν γενέσθαι, βασιλεῦσι δὲ μή. ἔστι δὲ στρατηγίας μὲν ἔπαινος ἡ τῶν πολεμίων καταστροφή, βασιλείας δέ, ἡ τῶν ὑπηκόων εὐδαιμονία.

ΤΟΥ ΑΥΤΟΥ, ΠΡΟΤΡΕΠΤΙΚΟΣ Οὐαλεντινιανῷ νέῳ. Λόγος ἑνδέκατος.



Ὦ παῖ δυοῖν ἀηττήτων πατέρων, οὐκ οἶδα ὅ,τι σε προσειπὼν μᾶλλον τύχοιμι τοῦ προσήκοντος, πότερον τὸ μέλλον ἢ τὸ ὁρώμενον. σοὶ γὰρ δὴ μόνῳ τὸ πέρας τῆς ἐν ἀνθρώποις τιμῆς ἁπάσης ἀρχὴ γίνεται καὶ ὑπόστασιν, καὶ οὗ καταλύουσιν οἱ τὰ μήκιστα αὐξηθέντες, ἐντεῦθεν σοι προοιμιάζειν. ὁρᾷς δὲ δήπου καὶ τουτονὶ τὸν κοινωνοῦντα τῆς παρούσης ἀρχῆς. τοῦτο μέντοι τὸ γέρας τῆς ἀρετῆς εἰ καὶ πάνυ φαίη τις ἐγκαιρότατα ἐκτετικέναι τοὺς σοὺς πατέρας, ἀλλ' ὅμως τὸ σεμνότατον αὐτῷ τῆς τιμῆς ἡ πρός σε γίνεται κοινωνία, καὶ τὸ σοῦ δεύτερος αἱρεθῆναι μεῖζον εἰς δόξαν νενόμικε τοῦ πρῶτος ἑτέρου. καὶ πρός γε ἔτι, τῷ μὲν τοῦτο μέγιστον ἁπάντων ἐστὶν ὧν τετύχηκε, σοὶ δὲ τὸ μέγιστον τοῦτο ἐλάχιστόν ἐστιν ὧν τεύξῃ προϊών, καὶ ταῦτα ἅπαντα, καὶ ἀκόλουθα καὶ συμβαίνοντα ἑαυτοῖς. πρῶτος γὰρ δὴ τέως τῆς εὐδαίμονος οἰκίας ἐσπαργανώθης ἐν ἁλουργίδι, καὶ νίκη μέν σε ὑπεδέξατο ἐκ τῶν ὠδίνων, νίκη δὲ εὐθὺς τιθηνεῖται· νίκης δὲ ἐπώνυμος ἀνήρ, μᾶλλον δὲ νίκης πολλάκις αἴτιος γεγενώς, συνάρχει σοι τὴν πρώτην ἀρχήν, ἀγαθὸν οἰώνισμα ὧν μετὰ ταῦτα στήσεις τροπαίων. ἔτι δὲ ἐν ἀγκάλαις περιφερόμενος συστρατεύεις τῷ πατρὶ καὶ συστρατηγεῖς, καὶ τρέφει σε οὐκ ἐν θαλάμοις κατακοιμίζων, οὐδὲ δημιουργῶν προβάτων τε μυκηθμόν, ἀλλ' ἐπὶ τῷ Ἴστρῳ καὶ τοῖς χειμῶσι τοῖς σκυθικοῖς, τὰ αὐτὰ καὶ σιτία σιτούμενον καὶ ποτὰ πίνοντα τῷ πατρὶ καὶ τοῖς στρατιώταις. ἀνέχῃ δὲ εὐθαρσῶς καὶ βοῆς ἐναλίου καὶ ἀσπίδων δούπου, καὶ θωράκων μαρμαρυγῆς καὶ λόφων. σὺ δὲ οὐδ' ἂν ἐκπλαγείης δεινὸν ἀπ' ἄκρας κορυφῆς νεύοντα νοήσας, οὐδὲ

μορμολύττεταί σε αἰνὴρ σιδηροῦς φανταζόμενος. ὃν καὶ ταλασίφρων ἄν τις, κατὰ Ὅμηρον, ἰδὼν ταραχθείη. τέως δέ σε ὦ γεννάδιε καὶ ἀποπειρώμενον εἶδον καὶ φιλονεικοῦντα πρὸς τὴν ἡλικίαν. νεύρων μὲν μαζῷ πέλασεν, οὐδ᾽ ἂν εἴποι ὁ ποιητής, τὼ σὼ χεῖρε τεθεαμένος ἀτρίπτους εἶναι καὶ ἁπαλάς, οἵας τῶν ἐν Ἰθάκῃ μειρακίων φησί, καλλίονας δὲ ἄνδρας ἤδη μνηστήρων, τάχιστα ὑπὸ τρυφῆς ἀπειπεῖν καὶ ἀποστῆναι τοῦ ἄθλου. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ προὐκάθισας πρόσω ἐπὶ τοῦ βήματος πρεσβύτου παντὸς στερεώτερον. ὥστε οἱ μὲν ἀκούοντες, ἀπηυδήκεισαν· σὺ δὲ εὔδηλος ἦσθα καρτερήσων καὶ εἰς ἑσπέραν. καλὰ μὲν δὴ ταῦτα καὶ βασιλικὰ τὰ παιδεύματα, γυμνάζεσθαι ὥσπερ σκύλακα αἵματος θηρείων, καὶ μελετᾶν ὀργὴν κατὰ τῶν βαρβάρων. ἐγὼ δέ σε ἀξιοίμην ἂν ὅπου οὐδέπω σε τούτων βασιλικώτερα διδάγματα ἐπιζητῆσαι. δεῖ μὲν, οἶμαι, τὸν ποιμένα ἔσεσθαι μέλλοντα, καὶ τοὺς λύκους ἀποσοβεῖν ἐπίστασθαι τῶν προβάτων. πρότερον μέντοι γε τοὺς κύνας παιδεύειν ὅπως ἂν τοῖς ποιμνίοις εἶεν πρᾶοι καὶ ἀμενεῖς. ταύτην δὲ τὴν παιδείαν φησὶν Ἡσίοδος ὁ ποιητὴς ὅτι παιδεύει τοὺς βασιλέας ἡ Καλλιόπη, καὶ ἐν χρείᾳ μᾶλλόν ἐστι τοῖς ἄρχουσιν ἢ τοῖς ἀρχομένοις καὶ τέως ἐπάκουε τῶν ἐπῶν, μικρὸν δὲ ὕστερον αὐτὰ καὶ συνήσεις. φησὶ δὲ λέγων ὑπὲρ τῆς Καλλιόπης ὅτι προφερεστάτη ἐστὶ τῶν Μουσῶν, Ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ, Ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο, Γινόμενόν τ᾽ ἐσίδωσι διοτρεφέων βασιλήων. Τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην, Τοῦ δ᾽ ἔπε᾽ ἐκ στόματος ῥεῖ μείλιχα. οἱ δέ τε λαοὶ Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας. παμπήλικον ἀριθμὸν προξενεῖ τοῖς βασιλεῦσιν ὁ ποιητής, εἰ μὴ τῶν μουσῶν ἀμελοῖεν. πρῶτον μὲν αἰδοίους αὐτοὺς ὀνομάζει. τοῦτο δὲ, ὅτι ἄρχουσι τῶν ὑπηκόων, αἰδοῖ μᾶλλον ἢ φόβῳ χρώμενοι. ἔστι δὲ τὸ μὲν αἰδοῖον, τίμιον τοῖς αἰδουμένοις·

τὸ φοβερὸν δέ, ἄτυχον τοῖς δεδοικόσιν. ἐπειδὴ δ' ὅτι καὶ θεο-
φιλεῖς ἀναγκαῖον εἶναι τοὺς βασιλέας, ἅμα τῇ πρώτῃ γενέ-
σει· ὅ τοι παίδων μακαριώτατε διαφερόντως ὑπάρχον ὁ-
ρᾶται. αὐτίκα γὰρ οἰωνοὶ ἀγαθῶν, αὐτίκα χρησμοί, αὐτίκα μαν-
τείας τῇ σῇ γενέσει προσεφήτισεν ὁ θεὸς τὴν καθαίρεσιν τοῦ
παλαμναίου. καὶ δῆλον ὅτι τὰς σὰς ὠδῖνας ἐπεῖδον αἱ Μοῦ-
σαι. ἐπεὶ πόθεν εὐθὺς τὴν τῆς ἀρχῆς ἁρμονίαν, διεφθορυῖαν
σχεδὸν ὁ πατὴρ ὁ σὸς ἀνεστήσατο, καὶ τοὺς μὲν ἀνείς, τοὺς δὲ
ἐπιτείνας τῶν φθόγγων τῶν παρὰ μέλος ἠχησάντων, εἰς τὴν
ἀρίστην κρᾶσιν καὶ συμφωνίαν μεθηρμόσατο; δῆλον γὰρ ὅτι σε γε-
νόμενον ἐφορῶσαι, συνεπεῖδόν τοι καὶ τὸν φύσαντα. οὐ γὰρ οἷόν
τε τὸν μὲν καρπὸν ἀγαπᾶν, τῆς ῥίζης δὲ ὠλιγωρηκέναι. ἀλ-
λὰ καὶ διοτρεφεῖς ὀνομάζει τοὺς βασιλέας τοὺς ὑπὸ τῶν Μου-
σῶν ἑωραμένους, καὶ ῥυήσεσθαί φησιν αὐτῶν ἀπὸ τῆς γλώτ-
της δρόσον γλυκεῖαν, καὶ λόγους ἐγκάρπους τε ὠφελίμους·
λέγων τὴν δρόσον αὐτοῖς συνέσεσθαι, καὶ τὴν θέμιν, καὶ τὴν
δίκην, καὶ ἐπιστρέψειν πρὸς ἑαυτοὺς τῶν ὑπηκόων καὶ τοὺς ὀ-
φθαλμοὺς καὶ τὰς γνώμας· αἵτινες ἐρώμενον μὲν τὸν βασι-
λέα ποιοῦσιν, ἐρωμένους δὲ τοὺς ἄρχοντας· καὶ ἥδιστον μὲν θεα-
μάτων τὴν ἐκείνων ὄψιν, ἥδιστον δὲ ἀκουσμάτων τὴν ἐκείνου
φωνήν. ταῦτα ἔστι τοι παρὰ τῆς Καλλιόπης, ὦ φίλε παῖ,
πατρῷα σύμπαντα ἀγαθά. ἢ οὐχ ὁρᾷς αὐτῷ παρεδρεύου-
σαν μὲν τὴν θέμιν, συνθακοῦσαν δὲ τὴν δίκην, τὸν νόμον
δὲ συνόντα ἀεί; αἰσθάνῃ δὲ ἴσως τηλικοῦτος ὤν, ὅτι πᾶσιν
ἀνθρώποις ἐπιτάττων, καὶ τὴν γῆν καὶ τὴν θάλασσαν
ὑπήκοον ἔχων, ὅμως οὐκ ἀτιμάζει καλεῖν ἑαυτοῦ καθηγε-
μόνα καὶ ἐπιστάτην ἕνα πρεσβύτην, οὐχ ὅτι τὸ σῶμα ἔρρω-
ται ὑπὲρ τοὺς πολλούς, οὐδ' ὅτι τῶν τακτικῶν ἐστιν ἐπιστήμων·
ἀλλ' ὅτι πρὸς τὰς Μούσας αὐτὸν ξεναγεῖ, καὶ τῶν ἱερῶν τού-
των ταμίας ἐστί· διὰ τοῦτο αὐτοῦ κατάκρας ἑάλωκεν. ἐπεί τινας

παρὰ τῶν βασιλέων αἱ μοῦσαι τοσοῦτον ἔσον ἐπὶ τοῦ σοῦ πα-
τρὸς ἐξέλαμψαν καὶ ἐπλούτησαν; τίς δὲ οὕτως ἠρέθισε τὰς ψυ-
χὰς τῶν νέων ἐπὶ τοὺς λόγους; τίς προὔθηκε τηλικαῦτα ἀ-
γαθά; τίς ὁμότιμος ἐποιήσατο τοὺς ἀπὸ τῆς γλώττης ὁμοτί-
μους τοῖς ἀπὸ τῶν ὅπλων; τίνι δὲ θαρροῦσα φιλοσοφία σε-
μνότερα ἐμαρτύρησε; μὴ τοίνυν ὅσα νομίσῃς τῆς πατρῴας
σπουδῆς ὀλιγωρῆσαι. καὶ γὰρ ὑπάρχει σοι τὰ μὲν ἄλλα ἡτ-
τᾶσθαι τοῦ φύσαντος, ταύτῃ δὲ καὶ πλείω ζῆν, εἰ προέλοιο. ὃ
γὰρ τῷδε τὸ περιγίνετο ἦν ἐκ τοῦ ῥάστου, σοὶ μετὰ ῥᾳστώνης ὑπάρ-
ξει, διδασκάλων ἀφθονία καὶ παιδευτῶν. δεῦρ' ἴθι παῖ, ἐπὶ
τῶν ἐμῶν καθίζου γονάτων· οὐ φαυλότερος ἔσομαι τοῦ Φοίνι-
κος τοῦ θρεψαμένου τὸν Ἀχιλλέα, ἀνδρὸς φυγάδος καὶ τὸν πα-
τέρα ἠδικηκότος. οὐδὲ ὄψα ἀποτεμῶ καὶ οἶνον ἀφύξω, ἀλλ'
αὐξήσω φησὶ παρ' ἐμοῦ τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ, τοῖς οὐρα-
νίοις σιτίοις. ὑφ' ὧν αὐξηθεὶς καὶ τραφεὶς, κατὰ τὸν χρόνον τὸν ἐοι-
κότα εἴσῃ μὲν ἃ χρὴ λέγειν, εἴσῃ δὲ ἃ χρὴ σιωπᾶν· καὶ ὅσα πράτ-
τειν καλὸν, καὶ ὅσα μὴ πράττειν ὠφελιμώτερον· καὶ ὁπότε ἐ-
γείρειν χρὴ τὸν θυμὸν, καὶ ὁπότε κατακοιμίζειν· καὶ τί διενήνοχεν
ἀτύχημα καὶ ἀδίκημα καὶ ἁμάρτημα. καὶ ὅτι προσήκει τὸν βασι-
λέα τὸ μὲν οἰκτείρειν, τὸ δὲ ἐπανορθοῦν, μόνον δὲ τὸ ἔσχατον τι-
μωρεῖσθαι· καὶ ὅτι ἄλλο μὲν ἐλευθέρων ἄρχειν, ἄλλο δὲ, οἰκετῶν·
καὶ τὸ μὲν, ἀρετῆς ὑπεροχή, τὸ δὲ, τύχης πλεονεξία. συμπαι-
δαγωγήσουσι δέ σε ἐμοὶ Πλάτων ὁ κλεινὸς καὶ ὁ θεσπέσιος
Ἀριστοτέλης, οἳ καὶ τὸν μέγαν Ἀλέξανδρον ἐπαιδαγώγησαν.
οὔτοι Μακεδόνα ἄνθρωπον Δαρείου καὶ Περσῶν ἐποίησαν
κρείττω· ἀλλὰ χρὴ προσιέναι τοῖς ἀνδράσι μετ' ἀληθείας
τὸν μέλλοντα αὐτῶν ἀπολαύσασθαι, καὶ πρὸς ἀλήθειαν, οὐ
πρὸς δόξαν, καὶ ἀκοῦσαι τῶν διδαγμάτων, οὐ παρακοῦ-
σαι. πρὸς δὲ τοῦτο ἴσως μὲν καὶ ἄλλοι διακονήσονται, ἐγὼ
δὲ ὀφλισκάνω πατρῷά σοι χαριστήρια, καὶ ἀντεισφέρειν

ἕτοιμος παρὰ τῶν λόγων ὧν τετύχηκα εἰς τοὺς λόγους. ὑπάρχει δέ σοι τὰ μὲν ῥᾴω πρὸς τὸ γενέσθαι τῶν πατέρων ἀκλεεστέρῳ, τὰ δὲ καὶ πολλῷ δυσκολώτερα. καὶ τῇ μὲν πλεονεκτεῖς ἤδη τοὺς σοὺς γονέας, τῇ δὲ μεῖζόν σοι μὴ ἡττᾶσθαι. ὅτι μὲν γὰρ ἔφυς ἐκ βασιλέων, οἱ δὲ ἐξ ἰδιώτου, πλεονεκτεῖς· ὅτι δὲ οἱ μὲν ἀρετῆς ἆθλον ἐκαρπώσαντο τὴν βασιλείαν, σοὶ δὲ ἡ τοῦ γένους δέδωκε διαδοχὴ, ταύτῃ φημί σοι καὶ τὴν ἅμιλλαν δυσκολωτέραν. χρὴ γὰρ καὶ τῆς τύχης καὶ τῶν πατέρων μὴ χείρω φανῆναι. ὃ παρ' ἐκείνων οὐδεὶς ἂν ἐπιζητήσειεν· ἀλλὰ τοῖς μὲν μικρὸν τὸ πρὸς τοὺς γονέας φιλονεικεῖν, σοὶ δὲ καὶ πάνυ μέγα τὸ καὶ ἴσον τοῖς πατράσιν ἐλθεῖν. τοῖς μὲν γὰρ πρὸς ἰδιώτην χρηστὸν ἢ (εἴπερ ἄρα) καὶ στρατηγὸν ἡ ἐξέτασις, σοὶ δὲ πρὸς αὐτοκράτορας τῆς ῥωμαίων ἀρχῆς, καὶ τούτους οὐχ οἵους ἄν τις ἀριθμήσειε τῶν ἐπάνω. εἴτε γὰρ τὸν πρεσβύτερον πρότερον ἐνθυμηθείης, οὐδεὶς οὕτως ἀθορύβου καὶ καθαρᾶς πρὸς βασιλείαν ἔτυχε ψήφου, οὐ περσῶν ἐπικειμένων, οὐδὲ καταπεπληγμένης τῆς στρατιᾶς, οὐδὲ ἀγνοούντων οἱ γῆς ἑστήκασι τῶν ἐκείνῳ φερόντων τὴν ψῆφον, οὐδὲ τῆς τύχης, οὐχὶ τῆς γνώμης χειροτονούσης· ἀλλ' ἐπ' ἀδείας, ἐπ' ἐξουσίας, ἐν ἐκκλησίᾳ κοινῇ καὶ συνόδῳ αὐτῶν πρότερον χειροτονούντων ὅσοις εἰκὸς ἦν ἀμφισβητεῖν. εἴτ' οὖν ἐκεῖνον ἐννοήσεις, εἴτε τὸν ὄντως πατέρα, καὶ ὡς ἐργῶδές σοι τὸ ἀγώνισμα. εἰ γὰρ ὁ τῆς κοινῆς ψήφου τυχὼν οὐδὲ πρὸς μικρὸν ἐκαρτέρησε μὴ οὐχὶ κοινωνὸν προσελέσθαι, πῶς οὐ μᾶλλον τούτῳ τὸ τῆς χειροτονίας σεμνὸν βεβαιοῦται, καὶ μιᾷ ψήφῳ πλεονεκτεῖ τιμιωτάτῃ τὸν προσελόμενον; ὥστε χαλεπὸν μὲν καὶ πρὸς ἕνα ἀγωνίζεσθαι τοιοῦτον ἀγῶνα· σοὶ δὲ διπλασίονος δεῖ τῆς σπουδῆς. χρὴ γὰρ μηδετέρου τῶν πατέρων ἀπολειφθῆναι· ἀλλ' ἐκεῖνα μὲν ἡμῖν αὐτοῖς ῥᾴω πολλῷ. οἴκοθεν γὰρ εὐποροῦμεν τῶν παραδειγμάτων, καὶ ὁπόσα ἂν προσκέψῃ

σεαυτῷ, ἢ θεὸς ἢ βασιλεὺς ἢ πατὴρ ἢ ἀνεψιὸς πρὸς ζῆλόν σε ἐκκαλέσεται. ἵνα γὰρ τοὺς ἀρχηγέτας ἀφεὶς ἐπὶ τὸν ὁμόστοιχόν σοι λαμπτῆρα τοῦ γένους ἀπίδω, ὑποχρήσει πως νέῳ πρὸς νέον διαμιλλᾶσθαι. ἐκεῖνον μέντοι πυνθάνομαι προσκυνεῖσθαι μὲν ὑφ' ἁπάντων ἑλλήνων τε καὶ βαρβάρων, ὑποκύπτειν δὲ τῷ διδασκάλῳ· καὶ φοβερὸν μὲν εἶναι κελτοῖς καὶ γερμανοῖς, κάτω δὲ ὁρᾶν φανέντος τοῦ τῶν μαθημάτων καθηγεμόνος, καὶ ἰόντα ἐκ τοῦ θρόνου τοῦ ὑψηλοῦ, ἡνίκα ἂν χρηματίζοι τοῖς βαρβάροις, ἁπλαστέστερον δὲ τῶν ἰδιωτικῶν μειρακίων ὑπέχειν ἑαυτὸν τῷ παιδεύοντι. ὦ μακάριος τούτου τοῦ δέους, εἰς ὁπόσον θάρσος αὐτὸν ὁ φόβος οὗτος προσάξεται. ὁπότε οὖν ἔχομεν οἴκοθεν οἷς ἀκολουθεῖν ἀναγκαῖον, ἡμέτερον ἂν εἴη μὴ μαλακίζεσθαι. τούτῳ μὲν δὴ πρότερον πλεονεκτοῦμεν καὶ τῶν γονέων καὶ τοῦ ἀδελφοῦ, τὴν βασίλειον ὁδὸν ἤδη τετριμμένην· ἔπειθ' ὅτι καὶ χωρίων μετειλήφαμεν εὐμουσοτέρων, καὶ οὐ μεταπέμπειν ἀναγκαῖον ἐκ περάτων γῆς τοὺς διδάσκοντας· ἀλλ' ὅποι ποτ' ἂν διαμείβῃς, παρεστῶτας ἔχεις καὶ ἀγαπῶντας, καὶ μάλιστα δὴ τοὺς τῆς τέχνης τῆς βασιλικῆς ἐπιστήμονας, ἧς ὑπὸ τὴν σὴν μερίδα τὰ ζώπυρα διασώζεται. εἰσὶ γάρ, ὦ φίλε παῖ, καὶ ἐν τοῖς λόγοις οἱ μέν, βασιλικοὶ καὶ διοτρεφεῖς ἀτεχνῶς, οἱ δέ, ὑπηκόοις πρέποντες καὶ ἰδιώταις. ὅσοι μὲν πρὸς μέγεθος αἴρουσι τὴν ψυχήν, καὶ σεμνότητος ἐμπιπλᾶσι, καὶ βασιλέα ποιοῦσιν ἑαυτοῦ πρότερον τὸν μέλλοντα ἔσεσθαι καὶ τῶν ἄλλων, οὗτοι βασιλεῖ πρέποντα ἀκούσματα καὶ διδάγματα· ὅσοι δὲ τὴν γλῶτταν μὲν περιπτύσσουσι, τὴν ψυχὴν δὲ ἐῶσιν ἀκόσμητον, οὗτοι δὴ ἅπαντες χθαμαλοὶ καὶ μικροπρεπεῖς, καὶ ἐπ' ὀλίγον ἀναγκαῖοι τῷ βασιλεῖ. ὥσπερ οὖν ὅπλα οὐ τὰ αὐτὰ ἀναλήψῃ τοῖς ὑπηκόοις, οὐδὲ ἐσθῆτα ἀμφιέσῃ παραπλησίαν, οὐδὲ οἴκησιν ὁμοίαν οἰκήσεις, ἀλλὰ πάντα ἔσται σοι παρὰ τοὺς ἀρχομένους

διαφανέστερα, καὶ ἵπποι, καὶ κύνες, καὶ διάκονοι, καὶ ὀχήματα· οὕτω καὶ τῶν λόγων τοῖς ἀρίστοις καὶ θειοτάτοις μαθητέον ἔσται σοι, δι' οὓς ἐπὶ σοὶ τὴν θειότητα ἀληθεύσομεν. οὐδὲ γὰρ τὸν πατέρα τὸν σὸν τὸ μὴ τοῖς ῥήμασιν ἀττικίζειν διεκώλυσε πρᾳότερον νομισθῆναι τῶν πώποτε αὐτοκρατόρων· ἀλλ' ὅτι τοῖς πράγμασι φιλοσοφεῖ μᾶλλον ἢ τοῖς ὀνόμασι, ταύτῃ πάμπολυ διενήνοχεν. ὥσπερ καὶ ὁ τοῦ παντὸς οὐρανοῦ βασιλεὺς οὐχ ὅτι δοκιμώτατα φθέγγεται προσκυνεῖται παρὰ τῶν ἄλλων, ἀλλ' ὅτι φιλανθρωπότατός ἐστι, δυνατώτατος ὤν, καὶ ὅτι ζωῆς χορηγὸς, καὶ ὅτι πρύτανις εὐδαιμονίας, καὶ ὅτι ταμίας τῶν ἀγαθῶν, καὶ ὅτι πρὸς ἐκεῖνον ὁρῶμεν ἐν τοῖς δεινοῖς τεθαρρηκότες. Βαγαδίας δὲ ἱκανῶς γράφειν καὶ Διονύσιος ὁ τύραννος ἱκανὸς ἦν· ἀλλ' ἐνέπλησε δραμάτων σικελίαν μᾶλλον ἢ τὴν σκηνήν. ὃν δὲ χρὴ καλεῖσθαι σωτῆρα, ὃν βουλαῖον, ὃν πολιοῦχον, τὰς τοῦ Διὸς ἐπωνυμίας, τὴν τοῦ Διὸς κτητέον αὐτῷ σωφροσύνην καὶ φιλοσοφίαν ἐστί. ταύτην δὲ ὁ μὲν πατὴρ ὁ σὸς ἐπιδείκνυται, σοὶ δὲ ἔνεστι προσλαβεῖν καὶ τὴν ἐπιστήμην. καὶ εἴγε σαυτὸν ἐπιτρέψαις Πλάτωνι καὶ Ἀριστοτέλει, οἱ δὲ ἔτι σε βαδίζοντα ἐπὶ τῆς γῆς, ἀνάξουσιν εἰς τὰ ἀνάκτορα τῆς τοῦ οὐρανοῦ βασιλείας, καὶ τὴν ἐκεῖ τάξιν περιηγήσονται, καὶ πρὸς τὸν κόσμον ἐκεῖνον μυσταγωγήσουσιν. ἐκεῖνα τὰ βασίλεια δορυφοροῦσι πρᾳότης καὶ εὐμένεια καὶ φιλανθρωπία, ἐκείνοις οὐ πρόσεστι κακοήθεια, ἐκείνοις οὐ πλησιάζει συκοφαντία, διαβολὴ δὲ καὶ πόρρωθεν ἀπελήλαται. εἰς ἐκείνην τὴν τάξιν ὁρῶντες οἱ πατέρες διευθύνουσι τὰ ἀνθρώπινα, ὥσπερ ἀφ' ἑστίας καὶ πρὸς ἀλλήλους τὸν κόσμον τοῦτον ἐπιδεικνύμενοι, καὶ κοινωνοῦντες ἀφθονητὶ τῶν τέως ἀκοινωνήτων εἶναι δοκούντων, τιμῆς καὶ δόξης καὶ βασιλείας. καὶ μόνοι δὴ βασιλέων οὐκ ἐν γράμμασι τίθενται νόμους, ὥστε κοινωνεῖν ἀλλήλοις τοὺς ὑπηκόους, ἀλλ' ἑαυτοὺς

τὸ ὑγιὲς πεποιήκασι κοινωνίας. οὐδεὶς γὰρ εἰς τοὺς προστάτας ὁρῶν, πλέον ἔχειν ἐφίεται τοῦ προσήκοντος. καὶ γὰρ τοῦ τοιούτου καρποῦ καὶ τῆς τοιαύτης δικαιοσύνης αὐτόθεν ἀπολαύειν ὑμῖν περίεστιν· ἑκάτερος γὰρ τῆς ἀσφαλείας τῆς ἑαυτοῦ φύλακα τὸν ἕτερον κέκτηται. καὶ δυεῖν ἑνὸς μέλει, μᾶλλον δὲ ἤδη βιοῖ, μελήσει δὲ ὅσον οὐδέπω καὶ τέτταρσιν ἑνός, ναὶ πρὸς Διὸς βασιλείου. ὦ πάντα σὺ τὸν ἀδελφὸν ἐζηλωκώς. οὔτοι δίκαιον καὶ πολλῷ βραδυτέρους τῆς φύσεως ὑμᾶς νομισθῆναι. τοῦτον ἐκείνη προλαβοῦσα ἐχειροτόνησεν αὐτοκράτορα· καὶ τέτακται, βασιλεύει, βασιλεὺς ὥσπερ ἀετῶν νεοττός, ὀξὺ μὲν ὁρᾷ νῦν ἤδη, περιμένων δὲ τὰ ὠκύπτερα· καὶ οὐκ ἐφ' ἡμῖν τοῦτο ψηφίζεσθαι, ἀλλ' ἡ φύσις ἐπαναγκάζει τὸν σκύμνον τοῦ λέοντος λέοντα εἶναι, καὶ τὸν βλαστὸν ταῖς ἀνισχούσαις ῥίζαις ὁμοφυῆ. δότε σὺν τοῖς παισὶν ὑμῶν τὸ κάλλιστον τῶν ὑμετέρων ζηλῶσαι, τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. νῦν δὲ τὰ ἄλλα παρ' ὑμῶν εἰληφὼς ὁ σὸς ἀδελφιδοῦς, οὕτω πρὸς ὃν τὴν αὐτοῦ ὁμώνυμον ἐπιδείξεται τὴν φιλαδελφίαν ἣν προσείληφεν. ἀλλ' ἀγαθῇ τύχῃ, καὶ δέχομαι τὸ προοίμιον. προοίμιον γὰρ ὀνομάζω τὴν τήμερον τῆς ἁλουργίδος καὶ τοῦ στεφάνου τὸ σκῆπτρον, καὶ τῶν δορυφόρων τοὺς ῥαβδοφόρους. ἔπος γὰρ οὐδὲν παλινάγρετον τοῦ Διός, οὐδὲ ἀπατηλόν, οὐδὲ ἀτελεύτητον, ὅ,τι κεφαλῇ κατανεύσῃ. κατένευσε δὲ ἡ θεία κεφαλὴ περιμένειν ἕτερον σχῆμα τοῦ παρόντος αὐτοῦ τιμιώτερον. οἷον ὄψονται ἐπὶ τῆς παρούσης προόδου θέαμα ἄνθρωποι, τέτρωρον βασιλέων (τί ἄν τις ἂν εἴποι) δύο ξυνωρίδας ὁμήλικον σχεδὸν ἑκατέρων καὶ ὁμοχρόνων, ἴσα βαινόντων, ἴσα πνεόντων, ἴσα εἱμένων τοῖς πέρασι τῆς γῆς ἣν φυλάττουσιν. ἀλλ' εἰς τοῦτον μὲν τὸν ἀριθμὸν τὴν βασιλείαν ὁ φιλάνθρωπος θεὸς ὡς τάχιστα καὶ αὐξήσειεν. ἃ δὴ νῦν ἀντιβολεῖ μὲν ὁ δῆμος, ἀντιβολεῖ δὲ ἡ μεγάλη βουλή, προσθεὶς, ἵνα μὴ πέρα τοῦ καιροῦ διοχλοίην, ἀπαλλάξομαι.

ἡμεῖς, ὦ θειότατε βασιλεῦ, πρότεροι μὲν σὲ αὐτοκράτορα πάντων ἀνθρώπων, πρότεροι δὲ ὕπατον προσειρήκαμεν· παρ' ἡμῖν δὲ ἄμφω τῆς ἀρετῆς τὴν ὑπεροχὴν ἐπεδείξασθε, ὁ μὲν, ὥστε μὴ μόνος ἔχειν τὸ τιμιώτατον, σὺ δὲ, ὥστε μόνος τῆς κοινωνίας ἄξιος κριθῆναι. δίκαιον οὖν τὴν πόλιν τὴν βασιλίδα, καὶ τὴν μάρτυρα παρεστήσασθε τῆς θείας ὑμῶν ὁμολογίας, καὶ νῦν τὰ δρώμενα ἐπιψηφίσαι, καὶ τὸν ἑαυτῆς ὕπατον προσειπεῖν ἐπὶ τοῦ πατρῴου θρόνου καθήμενον ἐν τῷ πρώτῳ βουλευτηρίῳ, πρὶν τὴν ἱερὰν στολὴν καταθέσθαι, καὶ τὰς ῥάβδους ἀναμὶξ ταῖς πατρῴαις καθιερῶσαι. ἔα πρὸς Διὸς ἀναχθῆναι ἐκ τῆς Κωνσταντίνου κρηπῖδος τὸν νεανίαν, λαμπρὸν παμφαίνοντα, ὥσπερ ἀστέρα ἐν οὐρανῷ, ἔα δήμου φωνῆς ἀκοῦσαι βασιλεῦσιν ὁμιλεῖν εἰθισμένον, ἔα τιμῆσαι τῆς ἐλπίδος τιμὴν ἐπαξίαν. ἦ που καὶ στρατηγῷ συγχωρήσεις μικρὸν ἀνακλῖναί τι τὴν ἀσπίδα, καὶ τὸ σῶμα διαναπαῦσαί τι, ὃ πολλάκις ὑπὲρ τῶν κοινῶν ἐπιδέδωκεν ἐφέστιον ἡμῖν στῆσαι κρατῆρα, καὶ ἐγκαλλωπίσασθαι τῷ παιδί, ὥσπερ οἱ νικήσαντες ὀλυμπίασιν.

ΤΟΥ ΑΥΤΟΥ, ΥΠΑΤΙΚΟΣ ΕΙΣ ΤΟΝ αὐτοκράτορα Ἰοβιανόν. Λόγος δωδέκατος.



ΑΣΙΛΕΥ, τὸ μὲν ἐπαινεῖν σε ἐφέντα τῇ προθυμίᾳ, καὶ τὴν παροῦσαν ἑορτὴν σχῆμα τοῦ λόγου προστήσασθαι, ἄλλοις παρίημι, οἷς ἐν μέρει τὸ θεραπεύειν ἀεὶ τοὺς κρατοῦντας ἐστὶν ἀνεξέταστος· ἐγὼ δὲ παρελήλυθα σήμερον συντελέσων τῇ πανηγύρει, οὐκ ἄρχει καινῆς φιλοτιμίας, ἀλλ' ὃ τῷ κόσμῳ καὶ χρείαν

συνοίσεται. νόμος γὰρ οὗτος φιλοσοφίας, μηδ᾽ ὁπουοῦν ἐργάζεσθαι πρὸς μόνην ψυχαγωγίαν, ἀλλὰ πανταχοῦ τῷ κεχαρισμένῳ τὸ συμφέρον καταμιγνύναι, ὥσπερ οἱ τῶν ἰατρῶν ἠπιώτεροι τὰ φάρμακα πρὸς τὴν αἴσθησιν ἐπικρύπτονται τοῖς ἡδύσμασι. ἔστι δέ σοι καὶ τῆς ἐκ τοῦ πλούτου πομπείας ἡ μὲν, πρὸς ἐπίδειξιν μόνον, ἡ δὲ, ἅμα τε ἐκπλήττει, καὶ τὴν χρείαν οὐ παρεώρακεν. ἐμοὶ δὲ, ὦ βασιλεῦ, καὶ μᾶλλον ἔτι φροντιστέον ἐστὶ, τὸ μὴ λίαν ἐνδεὲς ἀντεισενεγκεῖν σοι τὸ χαριστήριον, ὅτι φιλοσοφίαν οὐ πάνυ παρὰ τοῖς πολλοῖς ἀπραγοῦσαν κατὰ τὸν παρόντα χρόνον, ἐπανάγαγες αὖθις εἰς τὰ βασίλεια, καὶ παρίσταται σὺν ἀδοκιμωτέρῳ τῷ σχήματι. καὶ ποιεῖς οὐχ ἧττον ἔντιμον τὴν τῶν λόγων ἡγεμονίαν τῆς τῶν στρατοπέδων ἀρχῆς. οὕτω καὶ οἱ πατέρες τῆς σῆς βασιλείας τοὺς προγόνους ταύτης τῆς τύχης προῆγον, τὸν Ἄρειον ἐκεῖνον ὁ Σεβαστὸς, ὁ Τιβέριος τὸν Θρασύλον, Τραϊανὸς ὁ μέγας Δίωνα τὸν χρυσοῦν τὴν γλῶτταν, τὸν Ἐπίκτητον τὼ δύο Ἀντωνίνω. ἐῶ τοὺς ἄλλους. ἀλλ᾽ ὁ μὴ πάλαι τὴν ἐπωνυμίαν λαβὼν ἐκ τοῦ σοῦ θεοῦ τὸν ἀρχηγέτην τῆς ἐμῆς οἰκίας, τούτοις κατ᾽ ἴχνος ἀκολουθεῖς, ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς συμπαραλαμβάνων φιλοσοφίαν. τιμωμένη δὲ φιλοσοφία εἰς τοὐμφανὲς, ἀναδίδωσιν εἰς τοὐμφανὲς καὶ αὐτὴ τὰ χαριστήρια, λόγους ἱκανοὺς παραπέμψαι τὰ ἔργα τῷ χρόνῳ, καὶ προσθεῖναι μνήμην τοῖς ἐφημέροις αἰώνιον, καὶ συμβουλὴν ἐν καιρῷ καὶ παρρησίαν. ταῦτα γὰρ ἴδια φιλοσοφίας καὶ ἔργα καὶ δῶρα, καὶ ἐπὶ τούτοις ἐξ ἀρχῆς καὶ παρακέκληται ὑπὸ βασιλείας, καὶ ἀχρεῖος οὐκ ἐνομίσθη· οὐχ ἵνα τὸ Σικανίωνος ἔργον μεταχειρίζηται, ἐφ᾽ ᾧ πάλαι μισθοῦ τοῖς Ἕλλησι διηκονοῦντο ἄνθρωποι βάναυσοι καὶ δημόσιοι. ἀλλὰ βούλει γνῶναι τὴν παρὰ φιλοσοφίας συντέλειαν; νόμον ἔμψυχον εἶναί φησι τὸν βασιλέα, νόμον θεῖον ἄνωθεν ἥκοντα ἐν χρόνῳ

τοῦ δι' αἰῶνος χρυσοῦ, ἀπόρροιαν ἐκείνης τῆς φύσεως, πρόνοιαν ἐγγυτέρω τῆς γῆς, ἁπανταχοῦ πρὸς ἐκεῖνον ὁρῶντα, πανταχοῦ πρὸς τὴν μίμησιν τεταγμένον, ἀτεχνῶς διογενῆ καὶ διοτρεφῆ, καθάπερ Ὅμηρος λέγει, κοινωνοῦντα τῷ θεῷ καὶ τῶν λοιπῶν ἐπικλήσεων, ξένιον, ἱκέσιον, φίλιον, ἐπικάρπιον, ἑάων δοτῆρα, δικαιοσύνης χορηγὸν, ῥᾳστώνης ταμίαν, πρύτανιν εὐδαιμονίας. ταύτας εἰσφέρουσι τὰς εἰσφορὰς φιλόσοφοι βασιλεῦσιν, οἱ μὴ ψευδώνυμοι. τοὺς φύλακας δὲ καὶ τοὺς χαλκέας τοὺς ἐπιτεθειμένους τῇ δεσποίνῃ ὀρφανευθείσῃ οὐκ ἐποίει Πλάτων δημιουργοὺς ἀνθρωπίνης μακαριότητος. ὅπερ οὖν λέγω, τὸ μὲν ἀντεισενεγκεῖν τοῖς βασιλεῦσι τοὺς φιλοσοφίας ἀνοίας τὰ πρέποντα ἀναθήματα, πλέονος καὶ φροντίδος καὶ λόγου· τὰ νῦν δὲ ὁπόσα δυνατὸν καὶ σπουδάσαι πανηγυρίζοντας, ἄμφω σοι συμπροθυμούμεθα· τὸ μὲν τοίνυν ἥδυσμα τοῦ λόγου καὶ ἡ πανήγυρις μακαρίαν ἀποφῆναι τὴν ἐπωνυμίαν τοῦ ἔτους, ἢ τὴν ξυνωρίδα ἐπιγράψαι τὴν εὐδαίμονα πατρός τε ἅμα καὶ υἱέως τῆς πατρῴας ἁλουργίδος ἡλικιώτας, καὶ δεῖξαι τὴν παροῦσαν τιμὴν ταύτην σεμνοτέραν ὑφ' ὑμῶν γινομένην, ἢ συντελοῦσαν ὑμῖν εἰς σεμνότητα. ποιεῖ τε γὰρ αὐτὴν βασιλείας ὁ μὲν ἆθλον, ὁ δὲ, προοίμιον. κοινὸν δὲ ὑμῖν ἐστι τὸ ἆθλον τῆς ἐπὶ τὰ ἀμείνω προόδου. ἄμφω γὰρ οὐδὲν προελπίσαντες, σὺ μὲν αὐτοκράτωρ ἐξ ἰδιώτου, ὁδὶ δὲ, ὕπατος, ἐφ' ἑτέρου τῆς ὁρμῆς γεγενημένης. ὃ καὶ αὐτῆς μάλιστα ἀγασθείην τῆς σῆς προθυμίας, ὅτι καὶ τὸ κατ' ἀνάγκην ἐκβαῖνον δυσκόλως πρὸς σεμνότητα ἀπεχρήσω. μέχρι δὴ τούτου κοινῇ προσφωνεῖν ὑμᾶς ὁ λόγος, τοὐντεῦθεν ἤδη πρὸς σὲ βαδιεῖται· συγχωρήσει δέ σοι πλεονεκτεῖν ὁ νεανίας ὢν οὐχ ἧττον καὶ αὐτὸς μεταλήψεται. μικρὸν δὲ ἄνωθεν ἀναληπτέον, ὅτι τοῖς πατρῴας μὲν ἀρετῆς ἕνεκεν ὠφλισκάνετο καὶ πρὶν ἡ βασιλεία· πρεσβυτήσαντος δὲ τοῦ πρεσβυ-

τέρου τῶν προαρξάντων, ἀπολαβεῖν μελλήσας τὸ χρέος, ἵ-
να μὴ δοκοίης ἐπίτηδες τῷ λειπομένῳ τῆς Κωνσταντίνου δια-
δοχῆς, εἰς τὸν παρόντα καιρὸν ἐφυλάχθης, ὥστε κομίσασθαι
τὸ πατρῷον ὄφλημα, μηδενὸς ἀδικουμένου. Ἀλεξάνδρου μὲν
γὰρ μεταλλάξαντος ἐν Βαβυλῶνι, Μακεδόνες οὐχ εὗρον τὸν
κληρονόμον, ἀλλὰ Πτολεμαίου τοῦ Λάγου προὐτίμησαν τὸν
ἀνόητον Ἀριδαῖον, ὥσπερ χρήματα διανέμοντες ὑπὲρ ἀδελ-
φοῦ τεθνηκότος τῷ περιόντι, ἀλλ' οὐ βασιλείαν διδόντες, ἧς
μόνος διάδοχός ἐστιν ὁ σώζειν αὐτὴν ἐπιστάμενος. οἱ δὲ ἡμέ-
τεροι ψηφοφόροι καὶ στρατιῶται τῆς τοῦ σώματος ἀγχιστείας
τὴν τῆς ψυχῆς προεξήτασαν, καὶ ἀπέφηναν κληρονόμον
τῆς ἁλουργίδος τὸν κληρονόμον τῆς ἀρετῆς· καὶ ταῦτα οὐκ
ἐν σχολῇ, οὐκ ἐν εἰρήνῃ, οὔτε ἐνδιδόντος τοῦ καιροῦ θεραπείας
καὶ παραγγελίας καὶ δεκασμούς, ἀλλ' ὡς ἐν ἀκμῇ τῆς ἐ-
νυοῦς, ἐν τοῖς ξίφεσιν, ἐν τοῖς δόρασι φέροντες τὰς ψήφους, ἀ-
παράκλητον γνώμην, ἀκατασκεύαστον χειροτονίαν, ἣν ὁ και-
ρὸς ἐψηφίζετο, πρὸς ἣν ἡ χρεία ἐχειραγώγει. ὃ δὲ ποιεῖ ἔτι θαυ-
μασιώτερον, ἐν ἐκκλησίᾳ ὑπερορίῳ, ἔξω τῆς Ῥωμαίων γῆς,
ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς. καὶ σοὶ μόνῳ περίεστι τὸ κεκλῆσθαι τὴν βα-
σιλείαν, ἢ κριτὰς ἢ μάρτυρας παρασχέσθαι ταύτης ἀνθρώ-
πους, κριτὰς μὲν τοὺς φίλους, μάρτυρας δὲ τοὺς πολεμίους. ὅτι γὰρ
οὐχ ἧττόν σε πρόσω ἐχειροτόνει Ῥωμαίων, ἔδειξαν, τὰ ὅπλα ῥί-
ψαντες ἐπειδὴ τῆς ἀναῤῥήσεως ᾔσθοντο, καὶ τοῖς αὐτοῖς πρὸ τοῦ
μὲν θαῤῥοῦντες, ὀλίγῳ δὲ ὕστερον εὐλαβούμενοι. οὕτω φασὶ
καὶ τὸν Θηβαῖον Ἐπαμινώνδαν στρατεύεσθαι μὲν ἐν τοῖς ἄλ-
λοις ὁπλίταις, ἑτέρων βοιωταρχούντων, πιεζομένης δὲ τῆς
φάλαγγος ὑπὸ Θετταλῶν, ἐκ μέσης τῆς παρατάξεως βοιω-
ταρχὴν ἀναδειχθῆναι καὶ οἴχεσθαι φυγῇ παραχρῆμα τοὺς
πολεμίους, δείσαντας στρατηγὸν ὃν στρατιώτην οὐκ ἐδεδοί-
κεσαν. σὲ δὲ οὐ Θηβαῖοι καὶ Θετταλοί, οἱ μὲν ἑκόντες ἐχειρο-

πόνησαν, οἱ δὲ ἄκοντες ἐπεψήφισαν, ἀλλὰ συνελθοῦσα ἥ τε ἑσπέρα καὶ ἡ ἑῴα, ὥσπερ εἰκὸς ἦν τὸν μέλλοντα ἁπάσης ἄρξειν τῆς γῆς, μηδὲ ὁποσῶν αὐτῆς μόριον εἶναι ἄμοιρον τῆς ψήφου. καὶ ἐξεστράτευσας μὲν αἰχμοφόρος, ἐπανήκεις δὲ αὐτοκράτωρ, οὐχ ἵππου χρεμετίσαντος, ὥσπερ Δαρεῖος· οὐδὲ κυνὶ πτίσας, ὥσπερ Ψαμμίτιχος· οὐδὲ γυναικός σε δεξιὰν λυ προβαλλομένης εἰς τὴν ἀρχήν, ἀλλὰ τῶν δοκιμωτάτων γενῶν τὰ αὐτὰ κρινόντων καὶ τὰ αὐτὰ γινωσκόντων, Οἱ μὲν "
ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο, Οἱ δ᾽ αὖτ᾽ ἐν φι- "
λότητι διέτμαγεν ἀρθμηθέντες, οὐ ζωστῆρα ξίφους ἀνταλ- "
λαξάμενοι, ἀλλὰ ταύτην τὴν γῆν ἀναμίξαντες, καὶ τὴν ὑπόθεσιν τοῦ πολέμου συμμαχίας ἀρχὴν ποιησάμενοι. δεξάμενος δὲ ὑπὸ ἀνάγκης ὁλόκληρον εὐθὺς τὴν ἀρχὴν ἀναίμακτον, ἐτήρησας μᾶλλον τῶν ἐκ γένους παραλαβόντων. αἴτιον δὲ, ὅτι μήτε δεινοῦ τινὰ ὑπειλήφεις, μήτε ἐδεδίεις ὡς ἀξιώτερον, καὶ δυεῖν ἀποφάσεων Πλάτωνος σὺ τὴν ἑτέραν ἐβεβαιώσω, τότε ἀστασιάστους ἔσεσθαι τὰς ἀρχὰς ὅταν ἄρχωσιν οἱ πρέποντες μὲν τοῦ ἄρχειν, ἥκιστα δὲ προθυμούμενοι. μεταστὰς γὰρ ἐκ τάξεως οὐ λίαν πρόσω τῆς εἰς τὴν ἁπασῶν ὑψηλοτάτην, οὔτε ἐξελάθου τῶν ὁμοτίμων, οὔτε ἐβάσκηνας τοῖς τὴν καὐτὰ προτεταγμένοις, οὔτε ὑπερεῖδες τῶν καὶ πρότερον ἀπολελειμμένων· ἀλλ᾽ ὑπερβὰς τῇ τύχῃ τοσοῦτον ἅπαντας, ἐμμεμένηκας τῇ πρὸς ἅπαντας προαιρέσει, ὥσπερ ἀκριβῶς ἐγνωκὼς ὅτι τὴν βασιλείαν ἀρετῆς ὑπεροχὴν νομιστέον, οὐκ εὐτυχίας. καὶ τὸν Ὑστάσπου Δαρεῖον μικρὸν ἀπέφηνας εἰς μεγαλοπρέπειαν ἀμοιβῆς. αἰσθόμενος δὲ ὅτι τῷ βασιλεῖ κρηπὶς ἀσφαλείας ἡ τῶν συνόντων δικαιοσύνη, τοὺς ἁπανταχόθεν ἀρίστους τοὺς μὲν ἐπανήγαγες, τοὺς δὲ προσείλου, τοὺς δὲ ἀπήλλαξας. καὶ δορυφοροῦσι νῦν τὰ βασίλεια Νέστορος μὲν εὐβουλία, Διομήδους δὲ ἐλευθερία, καὶ ὁ τοῦ Κύ-

ρου Χρυσαίντας, καὶ ὁ τοῦ Ξέρξου Ἀρτάβαζος. εἶτα σοι προοίμιον γέγονε τῆς τῶν ἀνθρώπων ἐπιμελείας ἡ περὶ τοῦ θείου νομοθεσία. καὶ δῆτα ἐμβέβηκεν ὁ λόγος εἰς τὴν πάλαι ὡρμημένην ἀρχήν. μόνος γάρ, ὡς ἔοικεν, οὐκ ἀγνοεῖς ὅτι μὴ πάντα ἔνεστι τῷ βασιλεῖ βιάσασθαι τοὺς ὑπηκόους, ἀλλ' ἔστιν ἃ τὴν ἀνάγκην ἐκπέφευγε, καὶ ἀπειλῆς ἐστι κρείττω καὶ ἐπιτάγματος, ὥσπερ ἥτε ἄλλη ξύμπασα ἀρετή, καὶ μάλιστα ἡ περὶ τὸ θεῖον εὐλάβεια· καὶ ὅτι χρὴ προσηγεῖσθαι τῶν ἀγαθῶν τούτων ὅτῳ μέλλει μὴ πεπλασμένως ὑπάρξειν, ἀβίαστον τὴν ὁρμὴν τῆς ψυχῆς καὶ αὐτοκράτορα καὶ ἑκούσιον πάνυ σοφῶς κατανοήσαι. εἰ γὰρ οὐδέ σοι βασιλεῦ δυνατὸν κατὰ διάγραμμα εὔνουν εἶναι τὸν μὴ οὕτω ἔνδοθεν προαιρούμενον, πόσῳ μᾶλλον εὐσεβῆ καὶ θεοφιλῆ γράμματα ἀνθρώπινα δεδιότας, καὶ ἐπικήρυκας ἀνάγκας, καὶ ἀσθενῆ μορμολύκια, ἃ πολλάκις μὲν ἤνεγκεν ὁ χρόνος, πολλάκις δὲ καὶ παρήνεγκεν; εἶτα ἐλεγχόμεθα πάνυ γελοίως ἁλουργίδας, οὐ θεὸν θεραπεύοντες, καὶ ῥᾷον εὐρίπου μεταβαλλόμενοι τὰς ἁγιστείας. καὶ πάλαι μὲν εἷς Θηραμένης, νῦν δὲ ἅπαντες κόθορνοι, μικροῦ δεῖν χθὲς ἐν τοῖς δέκα, σήμερον δὲ ἐν τοῖς πεντήκοντα, οἱ αὐτοὶ πρὸς βωμοῖς, πρὸς ἱερείοις, πρὸς ἀγάλμασι, πρὸς τραπέζαις. ἀλλ' οὐ σύ γε ὦ θεοειδέστατε βασιλεῦ, ἀλλὰ τά τε ἄλλα αὐτοκράτωρ ὤν τε καὶ εἰς τέλος ἐσόμενος, τὸ τῆς ἁγιστείας μέρος ἅπαντος εἶναι νομοθετεῖς· καὶ οὕτω ζηλοῖς τὸν θεόν, ὃς τὸ μὲν ἔχειν πρὸς εὐσέβειαν ἐπιτηδείως, τῆς φύσεως κοινὸν ἐποίησε τῆς ἀνθρωπίνης· τὸν τρόπον δὲ τῆς θεραπείας ἐξῆψε τῆς ἐν ἑκάστῳ βουλήσεως. ὁ δὲ προστάττων ἀνάγκην, ἀφαιρεῖται τὴν ἐξουσίαν ἣν ὁ θεὸς συνεχώρησε. καὶ διὰ τοῦτο οἱ μὲν Χέοπος νόμοι καὶ οἱ Καμβύσου μόγις τοῖς θεμένοις αὐτοὺς συνδιήρκεσαν· ὁ δὲ τοῦ θεοῦ καὶ ὁ σὸς νόμος ἀκίνητος μένει τὸν πάντα αἰῶνα, ἀπολελύσθαι τὴν ἑκάστου ψυχὴν πρὸς ἣν οἴεται ὁδὸν εὐσεβείας.

σεβείας. καὶ τούτων οὐ χρημάτων ἀφαίρεσις, οὐ σκόλοπες, οὐ
πῦρ κατὰ τὸν νόμον πώποτε ἐβιάσαντο. ἀλλὰ τὸ μὲν σῶμα ἄ-
ξεις καὶ ἀποκτενεῖς, ἂν οὕτω τύχῃ, ψυχὴ δὲ οἰχήσεται, ἐλευ-
θέραν μέντοι τοῦ νόμου συμπεριφέρουσα τὴν γνώμην, εἰ καὶ
τὴν γλῶτταν ἐκβιασθείη. ἐγὼ δέ σε ὦ βασιλεῦ, πέποιθα τε
τὴν αἰτίαν καταμαθόντα τῆς θείας ταύτης νομοθεσίας, οὕ-
τως αὐτῇ κατ' ἴχνος ἀκολουθῆσαι, ὅτι πέφυκεν ἄνθρωπος ὅ-
σα δὲ καὶ πρὸς ἅμιλλαν διαπράξεται, συντονώτερον ἀπερ-
γάζεσθαι, ὅσα δὲ ἄνευ φιλονεικίας, ταῦτα ῥᾳδιουργεῖν καὶ χά-
σμης ἐμπίπλησιν ἡμᾶς καὶ ἀργίας τὸ παντάπασιν ἀνταγω-
γώνιστον. ἐρεθίζεται γὰρ ἀεὶ ῥᾳδίως ὑπὸ τοῦ φιλονείκου πρὸς
τὸ φιλόπονον ἡ ψυχή. διὰ τοῦτο οὐκ ἀποκλείεις τὴν ἀγαθὴν ἔριν
τῆς εὐσεβείας, καὶ διὰ τοῦτο οὐκ ἀμβλύνεις τὸ κέντρον τῆς πε-
ρὶ τὸ θεῖον σπουδῆς, τὴν πρὸς ἀλλήλους ἅμιλλαν καὶ φιλο-
τιμίαν. ὥσπερ δὲ ὑπὸ τὸν αὐτὸν ἀθλοθέτην ἵενται μὲν ἅ-
παντες οἱ σταδιεῖς, οὐ μὴν ἅπαντες τὸν αὐτὸν δρόμον, ἀλλ' οἱ
μὲν, ἔνθεν, οἱ δὲ, ἔνθεν, ἀπαίτῃ δὲ ἀγέραστος ὁ ἡττώμενος· οὕ-
τως ἕνα μὲν ὑπολαμβάνεις τὸν μέγαν καὶ ἀληθινὸν ἀγω-
νοθέτην, ὁδὸν δὲ ἐπ' αὐτὸν οὐ μίαν φέρειν, ἀλλὰ τὴν μὲν,
δυσπορωτέραν, τὴν δὲ, εὐθυτέραν· καὶ τὴν μὲν, τραχεῖαν,
τὴν δὲ, ὁμαλήν· συντετάσθαι δὲ ὅμως ἁπάσας πρὸς τὴν
μίαν ἐκείνην καταγωγήν, καὶ τὴν ἅμιλλαν ἡμῖν καὶ προθυ-
μίαν οὐκ ἀλλαχόθεν ὑπάρχειν, ἀλλ' ἐκ τοῦ μὴ τὴν αὐτὴν
πάντας βαδίζειν. εἰ δὲ μίαν μὲν ἀτραπὸν ἐάσεις, ἀποικοδο-
μήσεις δὲ τὰς λοιπάς, ἐμφράξεις τὴν εὐρυχωρίαν τοῦ ἀγω-
νίσματος. αὕτη παλαιὰ φύσις ἀνθρώπων, τε τὸ-ἄλλος δ' «
ἄλλῳ ἔρεξε θεῶν, Ὁμήρου παλαιότερον ἦν. μήποτε γὰρ οὐκ «
ἀρεστὸν τῷ θεῷ ταύτην ἐν ἀνθρώποις γενέσθαι ποτὲ τὴν συμ-
φωνίαν. φύσις δὲ (καθ' Ἡράκλειτον) κρύπτεσθαι φιλεῖ, καὶ πρὸ
τῆς φύσεως, ὁ τῆς φύσεως δημιουργός· ὃν διὰ τοῦτο μάλιστα

σεβόμεθα καὶ τε τὴν παρ' ἡμῶν, ὅτι μὴ πρόχειρος ἡ γνῶσις αὐτοῦ, μηδὲ ἐπιπολῆς καὶ ἐρριμμένη, μήτε ἀνιδρωτὶ λαβεῖν ἐστιν αὐτῆς οἷόν τε, ὡς τῇ ἑτέρᾳ. τοῦτον ἐγὼ τὸν νόμον* πρὸς ἑαυτοὺς ἀστασίαστοι βιωσόμεθα. χείρους Περσῶν ἀλλήλοις ἦμεν, χαλεπώτεραι ἦσαν τῶν ἐπιδρομῶν αἱ γραφαί, ἐξ ἑκατέρας θρησκείας παρὰ τῆς πόλεως, ὦ θεοφιλέστατε αὐτοκράτορ, ὑπερ τείνατό σοι παραδείγματα ἐναργῆ ὁ παρελθὼν χρόνος. ἔα μένειν τὴν τρυτάνην ἐφ' ἑαυτῆς, μὴ καθελκύσῃς ἐπὶ θάτερα τὴν ῥοπήν· ἁπανταχόθεν φοιτᾶν εἰς τὸν οὐρανὸν τὰς ὑπὲρ τῶν σκήπτρων τῶν σῶν ἱκεσίας. οὐδὲ ἡ σὴ βασιλεῦ στρατιὰ συντέτακται πᾶσα ἐκ μιᾶς ἰδέας καὶ τῆς αὐτῆς· ἀλλ' οἱ μὲν ὁπλιτεύουσιν, οἱ δὲ ἱππεύουσιν, οἱ δὲ ὁπλίζονται, οἱ δὲ σφενδονῶσι. καὶ οἱ μὲν περὶ τὸ σῶμα τὸ σὸν εἰσὶ τεταγμένοι, οἱ δὲ ἐγγύς, οἱ δὲ καὶ ἄποθεν λίαν· τοῖς δὲ ἀγαπητὸν εἰ γνωρίζοιντο τοῖς δορυφόροις, οἱ δὲ καὶ τοῦτο ἀδυνατοῦσιν· εἰς σὲ δὲ ὅμως πάντες ἀνήρτηνται καὶ τὴν γνώμην, οὐχ οἱ στρατευόμενοι μόνον, ἀλλὰ καὶ οἱ λοιποὶ σύμπαντες ἄνθρωποι, καὶ οἱ δίχα τῶν ὅπλων ὑπήκοοι, οἱ γεωργοῦντες, οἱ ῥητορεύοντες, οἱ ῥητορευόμενοι, οἱ φιλοσοφοῦντες. ταύτῃ νόμιζε γάννυσθαι τῇ ποικιλίᾳ καὶ τὸν τοῦ παντὸς ἀρχηγέτην· ἄλλως σύρους ἐθέλει πολιτεύεσθαι, ἄλλως ἕλληνας, ἄλλως αἰγυπτίους· καὶ οὐδὲ αὐτοὺς σύρους ὁμοίως, ἀλλ' ἤδη κατακεκερμάτισται εἰς μικρά. εἷς γὰρ οὐδεὶς τῷ πέλας τὰ αὐτὰ ὑπείληφεν ἀκριβῶς, ἀλλ' ὁ μὲν, τοδί, ὁ δὲ, τοδί. τί οὖν βιαζόμεθα τὰ ἀμήχανα; ἄγασθαι μὲν οὖν καὶ τοὺς ἄλλους τοῦ νόμου προσήκει τὸν θειότατον αὐτοκράτορα, μάλιστα δὲ οἷς οὐκ ἐφίησι μόνον τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τοὺς θεσμοὺς ἐξηγεῖται οὐ φαυλότερον Ἐμπεδοκλέους, ὃν μὰ Δία ἐκείνου τοῦ παλαιοῦ. οἶδε γὰρ ἀκριβῶς ὅτι τῶν ἀνθρωπίνων ἀγαθῶν ἑκάστῳ ἀπάτη καὶ φενακισμὸς παραπέπηγε, καὶ ὑποδύεται μεγαλοπρέπειαν μαγ

γανεία, καὶ ἀσέβειαν ἀγυρτεία· καὶ διὰ τοῦτο τὰς μὲν προσάγει, τὰς δὲ κωλύει, καὶ ἱερὰ ἀνοίγων, ἀποκλείει μαγγανευτήρια, καὶ θυσίας ἐννόμους ἀφιείς, οὐ δίδωσιν ἄδειαν τοῖς γοητεύουσιν, ἄντικρυς τὰ αὐτὰ νομοθετῶν Πλάτωνι τῷ Ἀρίστωνος. καὶ εἶπον ἂν τὰ ῥήματα ὑμῖν, εἰ μὴ τοῦ καιροῦ μακρότερα ἦν. ἀλλ' ἐπανιτέον αὖθις εἰς τὴν πανήγυριν, ἣν ἁπασῶν ἐγὼ πανηγύρεων τιμιωτάτην ποιούμενος, καὶ δυσχεραίνω τι πρὸς αὐτήν, ὅτι μὴ συναπολαύει μοι πᾶσ' ἡ καλλίπολις τῶν ἀνθρώπων. ὅπου θύεις ὦ γενναία σκυθρωπάζουσα, καὶ πανηγυρίζεις, καὶ χορεύεις ὀδυνωμένη, καὶ γεγηθυῖα πρὸς τὴν ἐλπίδα, πλέον πρὸς τὴν μέλλησιν ἀνιᾷ. εἰ δὲ ἀποβάντα ἴδῃς τὸν ἐραστὴν καὶ τὸ ἴχνος ἀπερείσαντα οἴκοι, ποίας οὐκ ἀφήσεις φωνάς; ποίας οὐκ ἐμπλήσεις τὸν αἰθέρα βοῆς; μετὰ τὸν νέα, μετὰ τὸν ἀδελφιδοῦν Κωνσταντίνου, αὐτὸν ἐκεῖνον τὸν πάππου Κωνστάντιον ἀπείληφας. κείνου μέν τοι οἵδε πόδες, τοιαίδε τε χεῖρες, ὀφθαλμῶν τε βολαί. οὐκ ἀφείλετο τῆς ταινίας, οὐκ ἐνήψατο κολοβὸν τὴν ἁλουργίδα. φυλάξει σοι τὸ αὐτὸ μέτρον καὶ τῆς εὐνοίας. πέρσας δὲ καὶ Ἀθηναῖοι νικῶντες ἐν ταῖς ναυσὶν ἐδᾳδούχησαν τὰ μυστήρια. καὶ βασιλεὺς μετὰ τὴν εἰρήνην ἔξω τοῦ νεὼ τὰ προτέλεια μυήσας, εἰς τὰ ἀνάκτορα τὴν τελετὴν καταθήσεται. σπεύδωμεν ὦ μακάριε καὶ ἐγκονῶμεν. ὁρᾷς τῇ πόλει καὶ τὸν οὐρανὸν συμπροθυμούμενον, αἴθησι τὰς νεφέλας, ἔαρ ὑποφαίνει. πρὸ ὥρας στέλλει μοι πῶς τὸν ἑωσφόρον, τὸν ἐν ἀγκάλαις ὕπατον, τὸν ἐκ τοῦ μαστοῦ πατρῴζοντα ἤδη, ὡς θαρραλέος, ὡς ἀκατάπληκτος, ὡς ὅμοιος δημηγοροῦντι. θεὸς δὲ ὁ μείζω ποιήσας τοῦ ἐπωνύμου ταύτης ἀρχῆς, μείζω ἀποφήνειε καὶ τῆς ἁλουργίδος.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΩΝσταντῖνον. Λόγος τρισκαιδέκατος.



ΙΓΥΠΤΙΟΙ τὴν Ἀθηνᾶν τὴν ἐν Σάϊ τά τε ἄλλα σέβονται, καὶ τεθήπασιν αὐτὴν ἐνιαύσιον ἑορτὴν ἄγοντες, ἣν καλοῦσι λυχνοποιΐαν. ἐπειδὰν οὖν τοῖς αἰγυπτίοις ὁ χρόνος ἐπανίῃ τῆς πανηγύρεως, οἱ μὲν πολλοὶ τὰ λύχνα ἐνθέμενοι ἐν ταῖς βάρεσι, πλέουσι διὰ τοῦ Νείλου ἐπὶ τὴν Σάϊν, καὶ ἀφικόμενοι εἰς τὸν νεὼν, ἵνα τὸ ἄγαλμα ἵδρυται τῆς θεοῦ, τά τε ἄλλα θρησκεύουσιν ᾗ τάττει ὁ νόμος, καὶ τὰ λύχνα ἀνακαίουσιν ὕπαιθροι περὶ τὰς σκηνὰς καὶ τὰ κράσπεδα τοῦ περιβόλου, καὶ ἡ Σάϊς καταλάμπεται ἱερῷ πυρὶ τὴν νύκτα ὅλην ἐκείνην. ὅσοι δὲ ὑπ' ἀσθενείας ἢ τῆς πρὸς τὸ πλεῖν εὐσεβείας, ἢ τὸ βέλτιον αὐτοῖς ἐνομίσθη μένειν, οὗτοι ἐς μὲν τὴν Σάϊν οὐκ ἀφικνοῦνται, τιμῶσι δὲ οἴκοι τὴν Ἀθηνᾶν, καὶ τὸν καιρὸν λογισάμενοι τῆς ἑορτῆς, ἐν ταῖς ἑαυτῶν πόλεσιν ἕκαστος καὶ τὰ λύχνα ἀνάπτουσι, καὶ ὑμνοῦσι, καὶ εὐφημοῦσι. καὶ διὰ τοῦτο λέγει Ἡρόδοτος οὐκ ἐν Σάϊ μόνον γίνεσθαι τὴν πανήγυριν, ἀλλὰ καὶ διὰ πᾶσαν τὴν αἴγυπτον. ἐγὼ δὲ ἐπαινῶ μὲν καὶ τοὺς πόρρω ἐπ' εὐσέβειαν προθυμουμένους, ἐπαινῶ δὲ οὐδὲν μεῖον καὶ τοὺς ἐφ' ἑστίας τὸ θεῖον τιμῶντας, οὐ ταύτῃ μόνον ὅτι πολλαπλασιάζουσι τὴν ἑορτὴν, καὶ ἐξάγουσι, τό γε ἐφ' ἑαυτοῖς, εἰς πλείονας πόλεις τε καὶ ἀνθρώπους, ἀλλὰ καὶ ἐκείνῃ πλέον, ὅτι οὐκ ἐν τῷ ἀγάλματι μόνῳ ἐστὶν, οὐδὲ τῷ νεῷ μόνῳ ἐνδιαιτᾶται, ἀλλὰ πανταχοῦ γῆς καὶ θαλάσσης, ὅπου ἂν αὐτοῦ ἡ δύναμις ἐπιχωρῇ καὶ ἐξικνῆται. εἰ οὖν τε ὑμεῖς ἀποδέχεσθε τῆς γνώμης (ἀποδέχεσθε δέ· οὐ γὰρ ἂν ἐπῃνεῖτε ὡς καλῶς λέγοιτο) ἀποδέχοισθε ἂν ἄνθρωπον ὃς τῇ γνώμῃ ταύτῃ ἐπηκο

λούθησε· καὶ δέον αὐτῷ ἀναβαίη ἐπ' ἀπήνην τετράκυκλόν τε καὶ ὑψηλὴν, καὶ ζευγνυμένων ἡμιόνους ἄλλοτε ἄλλας, μᾶλλον δὲ ὁρμαθοὺς ἡμιόνων ζυγίων τε καὶ παρασείρων, διὰ θρακῶν τε καὶ παιόνων καὶ ἰλλυριῶν καὶ ὁπόσα ἔθνη μέχρις ἰταλίας, φέρεσθαι μετεώρῳ νύκτας ἐφεξῆς καὶ ἡμέρας, οὐ πλειάδας εἰσορῶντα καὶ ὀψὲ δύοντα βοώτην, " καθάπερ Ὀδυσσεὺς ἐπὶ τῆς σχεδίας, (οὐ γὰρ ἐνδιδόασιν αἱ νεφέλαι τηνικάδε τὰ ἄστρα ὁρᾶν τοῖς ἀνθρώποις ἐκεῖ) ἀλλὰ κρυστάλλοις περισταρασσόμενον καὶ πνεύμασι καὶ νιφετοῖς, καὶ ἐνειλημμένον χεῖράς τε καὶ πόδας πίλοις τε καὶ ἀρακίαν, οὐδ' ὑφ' ἑνὸς κυβερνήτου διϊθύνοντος τὸν πλοῦν καὶ τὸ σκάφος, ἀλλὰ μυρίων μὲν ἡνιόχων φωνάς τε ἀλλοκότους ἱέντων δι' ὧν τὰ ζεύγη ἐποτρύνουσι, καὶ ταῖς μάστιξιν ἐμπαταγούντων καὶ ἐπιβοώντων, ὡς ἂν μὴ ἐνίσχοιτο ἐν τοῖς τέλμασιν· ἐλθόντα δὲ ἐκεῖσε μόλις ποτὲ τοῦ ἀνακτόρου, οὐ δὴ εὐθὺς ἀφικόμενον ὕμνους τε ᾄδειν τῷ θεῷ καὶ ἀπάρχεσθαι τῶν ἰατρῶν· τούτων μὲν οὐδὲν ποιεῖν οἷόν τε εἶναι, κεῖσθαι δέ που ἐν κλινιδίῳ στένοντα καὶ μαλακιῶντα, καὶ δεόμενον τῶν ἰατρῶν φάρμακα ἔμπυρα ἐξευρίσκειν οἷς ἂν τὸν χειμῶνα ἐξελάσειε τῶν μηρῶν. ᾧ οὖν ταῦτα δέον ὑπομένειν, ὁ δὲ εἵλετο οἴκοι μένειν, καὶ ἐπὶ χώρας δι' ὧν ἔχει θυμάτων ἀρέσκεσθαι καὶ ἱλάσκεσθαι τὸν θεὸν, οὔτε δυσπήρῳ τῷ σώματι ὑπὸ κρύους, οὔτε ἀμαθαινούσῃ τῇ ψυχῇ ὑπὸ ἀμουσίας, ἀλλὰ τῷ μὲν, ὑγιεῖ καὶ ἀρτίῳ, τῇ δὲ, ἀκραιφνεῖ καὶ παρωξυμμένῃ ὑπὸ τῶν μαθημάτων, πότερον οὖν ὁ ἀνὴρ ὑμῖν δοκεῖ εἶναί τι ἧττον ἀσεβὴς καὶ θεόσοφος ἢ οἱ τὰ λύχνα καίοντες τῶν αἰγυπτίων; ἧττον δὲ αἰσθάνεσθαι τῆς δυνάμεως τοῦ θεοῦ; ὅστις οὐκ ἐν μόνῃ ἐκείνῃ τῇ πόλει ἐστὶν, οὐδὲ ἐν μόνῳ ἐκείνῳ τῷ χωρίῳ ἐν ᾧ αἴσθοιτο ἄν τις αὐτοῦ καὶ ἀντιλάβοιτο, καὶ φθεγγομένου ἀκοῦσαι. τοῦτο μὲν γάρ ἐστι τὸ πάθος ἀνθρώπων τοῖς ὁμ-

ἱερῶν

μασι μόνοις πεπιστευκότων, καὶ κεῖνο μόνον νομιζόντων τὸ ἀληθὲς οὗ ἔστιν ἐπιδράξασθαι ταῖν χεροῖν. τὸ δὲ ἀκριβὲς, ἐκεῖ ἄρα ἐστὶν ἕκαστος οὐ μόνον ὁ θεὸς, ἀλλὰ καὶ ἄνθρωπος ἤδη, ὅπου ἂν δύνηται ὠφελεῖν καὶ ἔργον ἀγαθὸν ἐπιδείκνυσθαι. ἐπεὶ καὶ τὸν ἥλιον τοῦτον οὐκ ἐννοεῖτε ὡς ἐν ὁπόσῳ ἄρα μέρει φαινόμενος τοῦ οὐρανοῦ πάντα αὐτῆς ἐποπτεύει· καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰ καὶ πάμμεγα, ἀλλ' οὐ πανταχοῦ, ἡ δύναμις δὲ ἁπανταχοῦ καὶ αἱ ἀκτῖνες, καὶ ἐν γῇ καὶ ἐν θαλάτλάττῃ, καὶ ἐν νήσοις, καὶ ἐν ἠπείρῳ, καὶ ἐν ὄρεσι, καὶ ἐν λειμῶσι, καὶ ἐν ποταμοῖς καὶ κρήναις, καὶ ἐγγὺς τῶν ζώων ἁπάντων καὶ ἐγγὺς τῶν φυτῶν; πᾶσι γὰρ τοῖσδε ἐκεῖθεν ἐποχετεύεται ἡ σωτηρία· ὅστις οὖν οἴεται τῆς μὲν ὠφελείας ἁπανταχοῦ ἀπολαύειν, τὰ χαριστήρια δὲ μὴ πανταχοῦ ἐκπινυῶσαι, γέλως ἂν εἴη καὶ δυσσεβείας οὐ πόρρω, καὶ οὐκ ἂν λογίζοιτο ὅτι καὶ οἱ σφόδρα ἐπιθυμοῦντες τοῖς ὄμμασιν ἀτενίσαι εἰς τὸν θεὸν, πρότερον μὲν ἐν τοῖς ὕδασι μελετῶσι καὶ διαπειρῶνται τῶν ὀφθαλμῶν πρὸς τὸ φάσμα αὐτοῦ καρτερεῖν τε καὶ ἀπερείδεσθαι, ὡς ἂν μὴ ἀθρόας τῆς ἀληθινῆς μαρμαρυγῆς ἐμπλησθέντες, σκότου μᾶλλον ἢ αὐγῆς ἀπολαύσειαν. καὶ ἐμοὶ μὲν ἴσως, ὦ ἄνδρες, (καὶ μὴ δυσχεραίνητε ἐπὶ τῷ λόγῳ) ἐγγυμναστέον ἔτι καὶ ἐμμελετητέον ἐστὶ πρὸ τῆς ἀληθινῆς θέας, ταῖς εἰκόσι καὶ τοῖς κατόπτροις. διότι δὲ, ἐρῶ πρὸς ὑμᾶς. ἄπληστα ἔτι μοι τὰ ὄμματα, καὶ οὐκ ἀνέχεται οὐδὲ ἀγαπᾷ ἐπιπολῆς μόνον ἰδεῖν, ἀλλὰ πειρᾶται ὅτι μάλιστα εἰσδύεσθαι εἰς τὸ βάθος τοῦ ὁρωμένου. ὅταν οὖν ἀγύμναστα καὶ ἀνάσκητα ἐγχειρῇ, μένει ἔξω περὶ τὰ σχήματα καὶ τὰ χρώματα, καὶ οὐχ οἷά τε ἐστι τῶν ἐνδοτέρω θιγεῖν τε καὶ ἐπορέξασθαι. τοῦ δὲ βασιλικοῦ κάλλους, οὗ ἐγὼ ὁρᾶν ὥρμημαι, καὶ ᾧ παρασκευάζω ἐμαυτὸν πρέποντα θεατὴν, καλὴ μέν που καὶ ἡ ἔξωθεν ἀγλαΐα, πολὺ δὲ ἀμηχανωτέρα καὶ

ἀφραστότερα, ἣν ἐγκύψαντας χρὴ ἰδεῖν ὁπόσης γέμει ὥρας τε καὶ ἁρμονίας· ἔνθεν μὲν, καθ' Ὅμηρον, φιλότης ἀνθρώπων, ἀλλ' οὐ δολερὰ οὐδὲ ἐπίβουλος, ἀλλὰ θεοειδὴς καὶ ἀκήρατος, ἧς συντεθὲν τὸ ὄνομα ἐστὶ φιλανθρωπία. ἔνι δὲ ἵμερος σωφροσύνης, ἐναβρεμεῖ δὲ ἀλήθεια, ἐγκατοικεῖ δὲ πραότης, ἐναστράπτει δικαιοσύνη, πολλά τε ἄλλα ἰνδάλλεται κάλλιστά τε καὶ ἅγια καὶ θεσπέσια, οἷς μὴ προσαγνεύσαντα ἱκανῶς, μηδὲ τὴν ὄψιν προκαθηράμενον ἐκ τῶν φιλοσοφίας φαρμάκων, εἰκῇ οὑτωσὶ τὰ ὄμματα ἐξ ἐπιδρομῆς ἐπιβάλλειν οὔτε ὅσιον, οὔτε συμφέρον. ἐάσατε οὖν με τῷ κατόπτρῳ ἐνδιατρῖψαι μικρόν τινα χρόνον. κάτοπτρον δὲ ἐκείνου τοῦ κάλλους λαμπρόν τε καὶ λίαν ἐναργὲς ὑμεῖς καὶ ἡ ξύμπασα ἥδε πόλις. καὶ εἴ τις ἱκανῶς τε θεᾶται τὸ κάτοπτρον τοῦτο, πολὺ ἂν πρὸ ἔργου εἴη πρὸς τὴν θέαν τῆς ἀληθινῆς εὐμορφίας. οὕτω πανταχοῦ ἐπιπρέπει τε καὶ ἐπαυγάζει τὰ σύμβολα αὐτῷ τοῦ ἐλλάμποντος τὴν καλλονὴν ἀνδρί τε ἑκάστῳ καὶ ὅλῃ τῇ πόλει, σεμνὸν καὶ βασιλικὸν καὶ γεραρὸν καὶ αἰδοῖον. καὶ οὖν ἐπειδὴ, κατ' Αἰσχύλον, νῦν ἦλθεν ἐπὶ τὸ στόμα ὃ πάλαι εἶχον, καὶ ἐξ ἀρχῆς ὑμῖν ἐγὼ συνεορτάζω, οὔ μοι δοκῶ ἔτι ἀπολιμπάνεσθαι τῆς βασιλικῆς πανηγύρεως. καὶ γελοῖος γὰρ ἦν ἐν τοῖς ἔμπροσθεν ὁ λόγος, τῆς οἴκοι μονῆς προβαλλόμενος σαΐν τε καὶ αἰγυπτίους, ἐξὸν αὐτῷ ἀναμνήσασθαι ὅτι τὰ οἴκοι ταῦτα ὁ νεὼς ἦν τοῦ βασιλέως, ἐν ᾧ θύων τε καὶ καλλιερούμενος μᾶλλον ἂν αὐτῷ πράττοι κεχαρισμένα ἢ εἰ τῆς χλανίδος αὐτοῦ καὶ τῶν ποδῶν προυκαλινδεῖτο. ἢ γὰρ οὐ τοῦτον ἄνδρες τὸν νεὼν πρόκριτόν τε ἐξ ἁπάντων ἐποιήσατέ τε καὶ διατελεῖτε ἐπιμελούμενοι ὥσπερ ἑστίας; καὶ ἔρχεται αὐτῷ εἰς τὸ ἀνάκτορον τοῦτο πάντα ὅσα ἐκ πάσης γῆς αἰαθήματα. καὶ ἀπάρχονται μὲν τῇδε αἰγύπτιοι τῷ βασιλεῖ ὁπόσα ἔτη, ἀπάρχονται δὲ σύροι τε καὶ ἀσσύριοι, καὶ ἴωνες δὲ καὶ αἰολεῖς, καὶ σχε-

δόν τι ἅπαντες ἄνθρωποι. αἱ δὲ ἀπαρχαί εἰσι νῆες γέμουσαι εὐδαιμονίας, καὶ ὅ,τι μὲν ἡ φύσις ἄριστον τίκτῃ, καὶ ὅ,τι αὖ ἡ φύσις ἐντεχνότατον δημιουργήσῃ, συμφοιτᾷ ἄλλοθεν ἄλλο εἰς τὸ ἱερὸν τοῦτο, καὶ συναγείρεται. εἴδη τε ἐν αὐτῷ τέλεια ἵδρυται αὐτοῦ βασιλέως, καθάπερ, οἶμαι, ἐν Δελφοῖς οὐ τοῦ Ἀπόλλωνος μόνου, ἀλλὰ καὶ τοῦ Διός. καὶ Δελφῶν μὲν ἐξαρχῆς ἀμφικτύονες κτίσται καὶ εὑρεταὶ ἐγένοντο, πειθόμενοι τινὸς ἐν τῷ παρνασσῷ ἐκ κασταλίας τῷ μαντικῷ πνεύματι καταχρωμένου· καὶ χρόνῳ ὕστερον ἐξεμισθώσαντο Ἀλκμαιωνίδαι τὸ ἔργον, φοιτῶντας Ἀθήνηθεν Πεισιστρατίδας. τούτου δὲ τοῦ νεὼ πατήρ τε καὶ δημιουργὸς ὁ αὐτός ἐστιν ὅσπερ καὶ τοῦ βασιλέως. ὃς γὰρ ἐκεῖνον ἐφύτευσε, τόνδε ἐποίησεν. ἅτε οὖν ἄγαν φιλάδελφος ὤν, ἔρωτι καὶ τοῦδε ἔχεται ὥσπερ ὁμογόνου, καὶ ἀεί τι προσμηχανᾶται ὅπως ἂν ὀλβιώτερος καὶ πολυκλεέστερος εἴη. καὶ πάντα μὲν δὴ τὸν ἐγκατοικοῦντα λεὼν, ἱερὸν αὐτοῦ νομίζει καὶ ποιεῖται· οὓς δὲ ἐξείλετο ζακόρους τε καὶ ἱερέας, τούτους ἤδη ἐπὶ μέγα κυδαίνει, καὶ ὁμοψήφους εἶναι ἑαυτῷ ἀξιοῖ, καὶ μόνου ἄρα τοῦ χοροῦ τοῦ ὑμετέρου αὐτὸς ὁ χορηγὸς προστάτης ἐστὶ καὶ κορυφαῖος, καὶ ἵδρυται θρόνος ἱερὸς ἐν τῷ πατρῴῳ βουλευτηρίῳ, ἐν ᾧ συγκαθίζειν τε οὐκ αἰναίνεται καὶ προσηγορεῖν τοῦ συλλόγου. τῷ τοι καὶ τὰ παρόντα μυστήρια οἱ μὲν ἄλλοι ἄνθρωποι ὡς βασιλεῖ μόνον τελοῦσιν, ὑμᾶς δὲ ἐκεῖνος ἐθέλει καὶ ὡς ὁμοτίμῳ. καὶ ὅταν ἔξω τοῦ ἱεροῦ μυεῖν αὐτῷ δέοι τὴν τελετὴν, ὥσπερ Ἀθηναῖοι στρατευόμενοι πρὸς τὸν Μῆδον πόῤῥω ἐλευσῖνος ἐν ταῖς τριήρεσι, κλητούς τινας ἐκ τοῦ καταλόγου προσαιρεῖται ἐπὶ τὰ δρώμενα, καὶ πειρᾶται ἅπαντας δι᾽ ὀλίγου κοινωνοὺς ποιεῖσθαι τῆς πανηγύρεως. ὅπερ οὖν λέγω, οὐδέν τι μεῖον λεὼ τυγχάνοιμεν ἂν οἱ ἐνταῦθα τὴν πομπὴν διακοσμοῦντες τῶν ἐπὶ τὴν ἁλουργίδα αὐτοῦ πεπομένων. καὶ γὰρ δὴ ἵνα μὲν αὐτὸς ἐπιστατῇ καὶ ἐξηγῆται, οὐδέ-

μιᾶς ἂν δέοιτο ἔξωθεν περιάπτου λαμπρότητος ὁ χορὸς, ἀλλ' ἐξαρκοῖ αὐτῷ μόνῃ ἀγάλλεσθαι τῇ ξυνουσίᾳ, ἵνα δὲ ὥσπερ σμῆνος μελισσῶν κινῆται αὐτοῦ τοῦ ἀληθινοῦ ἡγεμόνος, πολλῶν ἂν δέοι τῶν ἀρηξόντων, εἰ μὴ μέλλοι βομβήσειν τε εἰκῇ καὶ πλανήσεσθαι ὅπῃ ἔτυχεν. εἶεν. εἰ δὲ ἐγὼ ταῦτα ἐξαρχῆς ὑμῖν προὐτεινάμην, ἡνίκα ἧκον οἱ ἄγγελοι παραγγέλλοντες τὴν πανήγυριν, ὅτι ἐγώ, ὦ συγχορευταὶ καὶ ὦ συνθιασῶται, νῦν μὲν ἔξω προκύψας τοῦ ἄστεος ἀφωνίᾳ τε ξυνεζήμην, καὶ οὐκ ἔχω ὅ,τι χρήσομαι ἐμαυτῷ. οὐ γὰρ ἐάσει "φθέγγεσθαι ὁ χειμὼν, καθάπερ τὰς ἀηδόνας, ἀλλὰ λωβήσεται "τὸν Ἑρμῆν τὸν λόγιον ὁ βόρειος. μένειν δὲ ἐνθάδε ἐώμενος, διδάσκαλος ἂν γνήσιμος τοῦ χοροῦ· καὶ διᾳσόμεθα ἅμα τοῖς Ἰταλιώταις ὑμνοποιοῖς· καὶ εἴπερ ἀρεστὸς ὑμῖν ὁ ὕμνος φανείη, δῶρον αὐτὸν ποιησόμεθα τῷ βασιλεῖ. ὁ δὲ προσήσεται, εὖ οἶδα, εὐμενέστερόν τε καὶ ἥδιον, ἢ παρὰ Κινύρου τὸν θώρακα ὁ Ἀγαμέμνων. φιλολόγος γὰρ οὐχ ἧττόν ἐστιν ἢ φιλοπόλεμος, καὶ τὰ ξένια τῶν Μουσῶν οὐκ ἀτιμότερα τῶν τοῦ Ἡφαίστου ποιεῖται. καὶ ταῦτα ἐγὼ οὐ μαντευόμενος λέγω, γιγνώσκων δὲ ὅτι καὶ πρῴην οὐ χρυσοῦν δή τινα στέφανον χρυσοῦ ἀπέφθου πολλῶν ταλάντων, (οἷοι πολλοὶ αὐτῷ ἀφικνοῦνται καὶ πολλαχόθεν) πέμπει ὑμῶν ψηφισαμένων, ἀλλ' ὃν ἐγὼ ἐπλεξάμην, αὐθι ἀκήρατα συλλεξάμενος ἐκ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λειμώνων, καὶ ἔδειξα τῇ βουλῇ καὶ τῷ δήμῳ ἐν τῷ αὐτῷ τούτῳ θεάτρῳ, ὁ δ' ἠράσθη τε ὡς οὐκ ἄλλῳ δώρῳ, καὶ περὶ πολλοῦ ἐποιήσατο· καὶ ἡ χαλκῆ εἰκὼν ἐξ ἐκείνου τοῦ ᾄσματος. εἰ οὖν ταῦτα ὑμῖν προὐτεινάμην, εὖ οἶδ' ὅτι ἀπρὶξ ἄν μου ἐλάβεσθε, καὶ περιείχεσθε μᾶλλον ἢ τοῦ ἀγάλματος τῆς αὐξησίας οἱ Αἰγινῆται. καὶ νῦν δὴ οὕτω ξυμβαίνει διὰ τὴν ἐμὴν βραδυτῆτα καὶ τὸν ὄκνον, πλέον τι εἰσηνέγκατε τῇ πανηγύρει. οὐ γὰρ μόνον θεω-

ροις ἐπέμψατε, ὥσπερ εἰς Δῆλον, ἀλλὰ καὶ οἴκοι στεφανηφορεῖτε καὶ εὐθυμεῖσθε, καὶ ἑστιᾶσθε, οὐκ εἰς τραπέζας ἐπικύψαντες βασιλικάς, οὐδὲ οἰνοχόων ὑμᾶς ξενιζόντων καὶ τραπεζοποιῶν καὶ μαγείρων, ἀλλὰ τῆς φίλης βασιλεῖ φιλοσοφίας. φίλην γὰρ αὐτὴν βασιλεῖ ὀνομάζειν οὐ δυσωποῦμαι, ἣν ἀπολιμπάνουσαν ἤδη ἀνθρώπους ἔσχε τε καὶ εἵσατο παρ' ὑμῖν, καὶ ἐς τοσόνδε ἐποίησεν ἐπίσημόν τε καὶ εὐκλεᾶ, ὥστε πολλοὺς εἶναι τοὺς περιβλέποντας καὶ ζητοῦντας, καὶ ἐντίμους ἀντιλαμβάνεσθαι καὶ θεραπεύειν. τῷ γὰρ ὄντι φύσις αὕτη, ὡς ἔοικεν, ἀσκεῖσθαι μὲν τὸ τιμώμενον, ἀμελεῖσθαι δὲ τὸ ἀτιμαζόμενον. ἴσως μὲν οὐ δεῖται ὁ χορὸς ὁ ὑμέτερος διδασκάλου πρὸς τὸν ὕμνον τοῦ βασιλέως. ἀεὶ γὰρ ὑμῖν ἐν μελέτῃ ἐστίν, οἷς γε καὶ ἡμέραι εἰσὶν ἱεραὶ ἐπὶ τῇ μελέτῃ ἐξῃρημέναι, καὶ αὐταὶ οὐκ ὀλίγαι τοῦ ἔτους, αἷς ξυνιόντες καὶ ξυλλεγόμενοι εἰς τὸ ἄδυτον, ἐν ἐσθῆτι τῇ ἱερᾷ συγγυμνάζεσθε ἐν ἀπορρήτῳ τὰς εὐφημίας. ἀλλ' οὕτως ἄρα ἐγὼ κομψότατος καὶ ἀλαζών, ὥστε καὶ νῦν οὐδὲν ἄλλο εἰπὼν δεξιὰς ἢ ἃ παρ' ὑμῖν ἔμαθον ῥήματα, ἔτι μαθητὴς ἀμφισβητῶ διδάσκαλος εἶναι. καὶ γὰρ ὅτι Κωνσταντίου ἐστὶ γέννημα καὶ θρέμμα ἡ γερουσία, καὶ ὅτι προσήκει αὐτῆς τῷ ἐκείνου υἱεῖ κήδεσθαι καὶ προορᾶν ὡς ὁμοπάτορος, καὶ τἄλλα ἐφ' οἷς πάνυ ἐξεβοήσατε, ἔλαθον λάθρα ἐκεῖθεν ἐσκευωρημένος. καὶ ἴσως ἄν με καὶ γραφήν τις γράψαιτο ἀσεβείας, ὅτι ἐξώρχηκα τὰ μυστήρια. τὰ δὲ, οὐκ ἔτι μυστήρια, εἰ μὴ ἄρα οὐχ ὑμῶν μόνον, ἀλλὰ καὶ πάσης γῆς καὶ θαλάσσης, ὅσα ξυνεβάλετο καὶ ξυνέπραξεν εἰς τὴν γένναν ὑμῶν τῷ γεννήτορι. οὕτω δὲ καὶ Αἰθίοπες, καὶ Ἰνδοὶ καὶ οὓς λέγει Ὅμηρος Κιμμερίους ἔξω τοῦ ἡλίου τῷ ὠκεανῷ προσοικοῦντας, εἶεν ἂν τὰ μυστήρια τετελεσμένοι. πάντες γὰρ δὴ οὗτοι συνήνεγκάν τε καὶ συνετέλεσαν εἰς τὰς ὠδῖνας τῷ βασιλεῖ· καὶ οὔτι πάντες συγχωροῦσιν

ὅτι ἡμεῖς μάλιστα ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους τοῦ Κωνσταντίνου γένει συναιρούμεθα, καὶ τὴν εὐδαιμονίαν καὶ τὴν εὐπραγίαν οὐκ ἄλλοθεν ἔχομεν ἐξημμένην ἢ ἐκ τῶν ἀπ' ἐκείνου ἀμμάτων· ὥσπερ, οἶμαι, καὶ τοῦ ἡλίου οἱ μὲν ἄλλοι ἀστέρες κατ' ἄλλο τι ἀπολαύουσι, τῇ σελήνῃ δὲ ἄρα ἐκεῖθεν ἐξήρτηται καὶ αὐτὸ τὸ φῶς καὶ αὐτὸ τὸ λάμπειν. ἅτε οὖν οὐκ ἐπίθετον κεκτημένοι τὴν πρὸς αὐτὸν εὔνοιαν, ἀλλ' ἀναγκαίαν, εἰκότως, οἶμαι, καὶ ἐξίσης ἀνταγαπώμεθα. διὸ λέγει που ἡ τραγῳδία ὅτι φέρει πολλὴν ἡδονὴν καὶ τὸ σωθέντι "
μεμνῆσθαι πόνων παροιχομένων. ἀναμνήσθητε οὖν πρὸς "
φιλίου, ἡνίκα ἐξερράγη μὲν ἡ τυραννὶς περὶ τὴν ἑσπέραν, συμπαρέδυ δὲ τὸ ἕτερον ἐν Ἰλλυριοῖς, ὡς ἅπασα οὖν ἡ ἀρχὴ ὀρθὴ ἦν καὶ μετέωρος πρὸς τὸ μέλλον, ἡ πόλις δὲ καὶ δεινότερον ἐξεπέπληκτο ὑπὸ δείματος. καὶ ἔπαλλε μὲν αὐτῆς ἡ καρδία, ἐβάμβαινε δὲ ἡ φωνή, κρύπτειν δὲ ἐπιχειροῦσα τὸ δέος, ἐξηλέγχετο ὅμως ὑπὸ τοῦ πάθους ἀλλοχροοῦσά τε καὶ ἀδημονοῦσα καὶ ἀπορίᾳ ξυνεχομένη· ἕως ὁ βασιλεὺς ὁ μέγας ἀνακαθηράμενος καὶ φραξάμενος τὰ πρὸς ἕω ἧκέ τε εὐμενὴς παρ' αὐτῇ, καὶ χεῖρα ὤρεξε κραδαινομένῃ, καὶ προὐτρέψατο εὔψυχον εἶναι. καὶ ὀλίγῳ ὕστερον πέμπει αἰχμάλωτον αὐτῇ τὸν ἕτερον τῶν τυράννων. ὃν πῶς ἄν τις λέγοι αἰχμάλωτον; οὐ γὰρ αἰχμῇ ἑάλω, ἀλλ' ὑπὸ λόγου ἠνδραποδίσθη, καὶ ἀπεδύσατο οὐ τὸ γῆρας, καθάπερ οἱ ὄφεις, ἀλλὰ τὴν ἔξωθεν ἁλουργίδα· τὸ γῆρας δὲ αὐτῷ διετήρησεν ὁ βασιλεὺς ὁ καλλίτεχνος ἀτεχνῶς, μάλιστα δὲ ἐπὶ ταύτῃ τῇ νίκῃ, ὅτι τῷ καλλίστῳ δόλῳ ταύτην ἐκτήσατο. δεξαμένη δὲ ἡ πόλις προοίμιον τῆς διὰ τῶν ὅπλων νίκης τὴν διὰ τοῦ λόγου, μικρὸν μέν τι ἀνεθάρρησε καὶ ἀνέπνευσε, πυνθανομένη δὲ τὸν αὐθέντην καὶ παλαμναῖον χεῖρά τε ἀνταίρειν ὑγηλατοῦντι τῷ βασιλεῖ, τὸ διακριβοῦσα αὐτῇ καὶ ἀπυ-

λῆν θεοβλαβοῦντα λάφυρά τε καὶ ἀνδραποδισμὸν καὶ ἀνάστασιν, ὡς οἰκειοτάτῃ καὶ ξυγγενεστάτῃ τῶν δεσποτῶν εἰς οὓς ἐξεμάνη καὶ ἐπαρῴνησεν, οὐ πρόσθεν ἄρα τοῦ κλόνου ἐπαύσατο καὶ τῆς ὑποψίας, ἕως ἐπεῖδε τοῖς ὀφθαλμοῖς πάντα αὐτῷ ἐκεῖνα τετραμμένα εἰς τὴν κεφαλήν. ἡ οὖν ὑπάρχει μάλιστα πόλεων τῆς βασιλέως τύχης συναπολαύειν ἢ αὖ ὀρμήσῃ, τί ἂν ἄλλο ἐκφέρῃ ἐναργέστερον σημεῖον ἀληθινῆς καὶ ἀπλάστου εὐνοίας; ταῦτα σοι ἀκριβῶς πεπεισμένος, καὶ τὰς ἄλλας νίκας ὑμῖν σὺν ἡδονῇ ἀνακοινοῦται, καὶ ἐν γράμμασι διαλέγεσθαι ἀξιοῖ, μικροῦ ὥσπερ Τιμόθεος Ἀθηναίοις καὶ Χαβρίας καὶ Ἰφικράτης, οἱ τῷ δήμῳ ὑπεύθυνοι στρατηγοί, χωρία τὰ πολέμια ἐξηγούμενος καὶ ποταμοὺς καὶ τενάγη καὶ νάπας καὶ τάφρους καὶ χαρακώματα, καὶ ὁπλιτῶν ἐπιθέσεις καὶ ἱπποκρατίας, καὶ ἔτι μάλιστα ὑμᾶς προσαναγκάζων τῷ λόγῳ ῥεῦμά τε ὁρᾶν γεφυρούμενον, καὶ χάονάς τε καὶ ἰάζυγας κεραϊζομένους, Γερμανῶν τε φῦλα ἀτάσθαλα δίκην πίνοντα ὧν ἐξύβρισαν. καὶ οὕτως ἐγὼ ἀληθεύω, καὶ οὐ μόνον καὶ τῇ ἐπὶ βασιλεὺς ὅπῃ ὁρᾶται, ἀλλά γε ἐν Κελτοῖς στρατοπεδεύων, Πέρσας εἰρήνης ἐπιθυμεῖν ἀναγκάζει. καὶ εἶδον ἐγὼ ἔναγχος ἐν τῷ ἄστει τοῦ Ἀντιόχου ἄνδρας ἐκ Σούσων καὶ ἐκ Βατανείων ἀφιγμένους σὺν κηρυκείοις, καὶ γράμματα ἀρχαῖα βύσσῳ λευκῇ ἐνειλιγμένα. τὰ δὲ γράμματα ἐξελιπάρει τὸν ὕπαρχον σπονδὰς παραιτεῖν Ἀχαιμενίδαις καὶ δεξιὰν ἐκ βασιλέως. ἐγὼ οὖν ταύτην τὴν νίκην ἰσχυροτέραν ὑπολαμβάνω, ἢ εἰ μάχῃ τε ἔναγχος ἐκρατήθησαν, καὶ ἐτέτμητο αὐτῶν ἡ γῆ, καὶ φρούρια εἵλομεν καὶ αἰχμαλώτους. τότε μὲν γὰρ καὶ τύχην ἐπῃτιῶντο, καὶ ἀναμαχεῖσθαι ἠπείλουν· νῦν δὲ ἑκόντες ὑποπτήξαντες δηλοῦσι τῇ γνώμῃ αὐτῇ ἡττημένοι. καὶ Ἀλεξάνδρου μὲν Δαρεῖος μόλις ποτὲ ὕστερον ἐδεήθη, πρότερον μὲν ἐπὶ Γρανίκῳ πληγείς, μετὰ ταῦτα δὲ ἐν Ἰσσῷ τῆς Κιλικίας· βασι-

λέως ἢ ἀπὸ τῶν Τίγριδος ῥείθρων τὰ ὅπλα τρέψαντος ἐπὶ τὸν ἑσπέριον ὠκεανόν, οὐκ ᾔσθοντο οἱ ἐν Βαβυλῶνι οὕτω πόῤῥω οὖσαν τὴν ἀπειλήν· ἀλλ' (ὅθεν δεῦρο ἐξετραπόμεθα) ὡς ἄρα ὑμῖν εἰκότως ἐγκαλλωπίζεται καὶ ἐναβρύνεται ὁ βασιλεύς, τρόπαια συχνὰ ἐπιδεικνύμενος καὶ τὰς ἀριστείας, ἅτε ἀληθινὰς καὶ ἐκ τοῦ βάθους συνῳδομένοις. τοὺς γὰρ μάλιστα αὐτῷ συναπολαύοντας τῆς εὐπραγίας, μάλιστα ἀναγκαῖον εὖ πράττοντι συγγανύσκεσθαι. τιμῶντα δὲ αὐτὸν καὶ πόλις ἀντιτιμᾶν πειρᾶται καὶ ἀντικυδαίνειν οἷς παρ' ἐκείνου κέκληται ἀγαθοῖς· ὥσπερ, οἶμαι, καὶ τὸν θεὸν οἱ ἄνθρωποι ἀντιτιμῶσιν οἷς παρ' ἐκείνου ἔχουσι θύμασί τε καὶ ἀναθήμασι. καὶ μεστὸς μὲν ἱπποδρόμους τῶν ἁρμάτων ἐφ' ἑκάστῃ νίκῃ καὶ ἐφ' ἑκάστῳ τροπαίῳ, διὰ δὲ τὸ πλῆθος τῶν ἀγγελιῶν διατελοῦμεν πανηγυρίζοντες· καὶ μόνοις ἄρα συμβέβηκεν οὐκ διαπαύσεις εἶναι τὰς ἑορτάς, ἀλλ' ἀναπαύσεως δεῖσθαι. καί, ἐπειδὴ Ἀλεξάνδρου ἐμνήσθη μικρῷ πρόσθεν ὁ λόγος, τῆς μὲν Ἀλεξάνδρου εὐτυχίας Πέλλα οὐδὲν συναπώνατο ἢ συναπέλαυσεν, ἀλλὰ τοσαύτην γῆν κτησάμενος ἐν ἑαυτῷ, πλέθρῳ ἑνὶ μείζω οὐκ ἐποίησε τὴν πατρίδα· βασιλεῖ δὲ εἰκότως συναυξάνεται πόλις ἡ τῆς βασιλείας ἡλικιῶτις. πυνθάνομαι γὰρ ὡς καὶ ἠμφίασεν ὁμοῦ ὁ γεννήτωρ τό, τε ἄστυ τῷ κύκλῳ καὶ τὸν υἱέα τῇ ἁλουργίδι. ὥστε ἐν δίκῃ τριπλασιάσας τὴν ἀρχήν, πολλαπλασιάζει αὐτῆς τὴν ὁμήλικα, οὐ τὸν περίβολον ἐξάγων, ἀλλὰ τῷ κάλλει προσμηχανώμενος, πηγάς τε μαστεύων ἀφθονωτέρων ναμάτων, λουτρά τε ἐπώνυμα οἰκοδομούμενος· (ὧν τὸ μέγεθος μὲν ἤδη ὁρᾶτε, τὸ κάλλος δὲ ἐλπίζεται πρέπον τῷ μεγέθει) δρόμῳ τε αὖ τὴν ὑποστέγῳ οἷα πολυτελεῖ μίτρᾳ διαζωννύς, καὶ τὴν βασίλειον ἀγορὰν ὥσπερ καλύπτραν διαπλέκων χρυσῷ καὶ μυρίοις. τὸ δὲ ἁπάντων σωτηρικώτατόν τε καὶ ἐμπορικώτατον, ὅτι ἥκιστα

αὐτὸς τρυφῶν, χορηγεῖ τῇ πόλει τρυφῆς ἀφθονίαν, καὶ τὴν ἑαυτοῦ ψυχὴν ἀποκλείων ταῖς ἡδοναῖς, συναλίζει ὑμῖν τὰς νομίμους ἁπανταχόθεν. ὥστε καὶ ὅσα παρ' ἑτέροις ἀγαπητὰ θεάματα καὶ ἀκούσματα, κατακορῆ ὑμῖν καὶ πλήσμια ἤδη. καὶ ἐκ τούτου σωφρονεστέρα γίνεται ἡ πόλις. ὧν γὰρ οἱ ἄλλοι ἐκκρέμανται δι' ἔνδειαν καὶ ἀπειρίαν, οὐδὲν ὑμῖν περισπούδαστον οὐδὲ τίμιον. ἐκεῖνο δὲ ἤδη πῶς οὐ μακρὰν καὶ πόρρω τῶν παιδικῶν περιορᾶντος, ὅτι καὶ συμβασιλεύειν αὐτῷ ἄνδρα ἐξείλετο ὄντινα αὐτῷ καὶ συνερᾶν τῆς Καλλιόπης ἀναγκαῖον; οὗ τῇ δὲ μὲν τῷ γεννήτορι συνηλθέτην, τῇ δὲ δ' ἐσπάρη τε καὶ ἐφυτεύθη, πόλις δὲ αὐτὸν ἐμαιώσατο ἐκ τῶν ὠδίνων, πόλις δὲ αὐτὸν ἐξέθρεψε καὶ ἐξεπαίδευσε, καὶ ἀπέφηνεν ἄξιον αὐτὸν βασιλεῖ κοινωνὸν τῆς ἀρχῆς, ἴσα βαίνοντα, ἴσα φρονοῦντα, συνοπλοφοροῦντα, συνασπίζοντα, συνδρῶντα, οὐ φυλακῆς δεόμενοι, ἀλλ' αὐτὸν φύλακα ὄντα καὶ ἔρυμα τοῦ ἑλομένου. διὰ ταῦτ' ἄρα καὶ αἵματι πάνυ ἀγχοῦ προσηκόμενον ἔτι προσηγάγετο ἐγγυτέρω τῇ ἐκ τοῦ γάμου κηδείᾳ, καὶ συνεστήσατο πρὸς τὴν πόλιν δεσμὸν ἀναγκαῖον, μείζω ποιήσας τὴν πρὸς τὸν οἰκιστὴν ἀγχιστείαν. ὅθεν δὲ ὡρμήθη ὁ λόγος τὰ δείγματα ὑμῖν συλλέξασθαι τῆς βασιλέως εὐνοίας, ἀκούσατε αὐτοῦ πρὸς Χαρίτων, εὖ μάλα ἐντεινάμενοι τὴν διάνοιαν. ἢ διαφεύξεται ὑμᾶς ὑπ' εὐλαβείας ζόφῳ καὶ ἀσαφείᾳ συγκαλύψας ὥσπερ ἀχλύϊ. οὕτω γὰρ δὴ ἡμῖν ὁ ἐραστὴς ἀμηχάνῳ φίλτρῳ ξυνέχεται, ὥστε οὐ μόνον παρὰ τῶν ζώντων ἁπάντων ἀγείρει τῇ πόλει τὴν εὐπραγίαν, ἀλλὰ καὶ παρὰ τῶν πάλαι ἀποιχομένων ὅσαπερ οἴεται ἀγαθὰ ἐρανίζει. καὶ οὐδὲ τοῦτο αὐτῷ ἀποχρῶν τι καὶ ἱκανόν, ἀλλ' ἐκεῖνο ἤδη ἰοὺ ἰοὺ ὡς ἄτοπον καὶ τεράστιον, ὅτι καὶ τὰς ψυχὰς αὐτὰς, ὦ θαυμάσιοι, τῶν σοφῶν καὶ ἀοιδίμων ἡρώων ἐπ' ὠφελείᾳ τῆς πόλεως ἀνακαλεῖται, καὶ

ἀνίστησιν ἐκ τῶν τάφων. ὅτι που οἴεσθε μαγγανείαν τὸ χρῆμα καὶ μανίαν. καὶ μὴν οὐκ ἄλλο ἔργον αἱρετώτερόν τι καὶ θεοφιλέστερον τοῦ ἐραστοῦ. καὶ ἐρῶ ὑμῖν σαφέστερον, ἵνα μάθητε ὅ,τι καὶ λέγω, καὶ μὴ θορυβῆτε. ψυχὴν τοίνυν ὑπολαμβάνω ἐγὼ ἀνδρὸς σοφοῦ εἶναι τὴν σοφίαν καὶ τὸν νοῦν καὶ τὸν λόγον, νεκρὰ δὲ τῶν ψυχῶν τούτων τὰς βίβλους τε καὶ τὰ γράμματα, ἐν οἷς ἀπόκειται αὐτῶν τὰ λείψανα, ὥσπερ ἐν μνήμασι. ταῦτα οὖν τὰ μνήματα ὑπὸ μικρᾶς ἀθεραπευσίας διαρρυέντα, ὥσπερ οἰκοδομήματα ἐν τῷ θησαυρῷ τῆς μνημοσύνης, καὶ κινδυνεύσαντα παντάπασιν αὐτά τε ἀϊστωθῆναι καὶ ἀποσβῆναι, καὶ συναποσβέσαι τὰς ψυχὰς τὰς ἐγκειμένας, ἀναζωπυρεῖν παραγγέλλει, καὶ τάττει μὲν ἄρχοντα ἐπὶ τῷ ἔργῳ, καὶ ἐπιδίδωσι τὴν χορηγίαν τῷ δαπανήματι. καὶ ἐργάζονται ὑμῖν ταῦτα τὰ ἔργα οὐ χαλκεῖς καὶ τέκτονες καὶ λιθολόγοι, ἀλλ' οἱ τῆς Κάδμου καὶ Παλαμήδους τέχνης δημιουργοί· οἳ ἱκανοί εἰσι τὸν νοῦν μετοικίζειν ἐκ παλαιοῦ σκεύους ἐκπεπτωκότος εἰς ἀρτιπαγές τε καὶ νεουργόν. καὶ ὀλίγῳ ὕστερον ὑμῖν ἀναβιώσεται μὲν δημοσίᾳ ὁ πάνσοφος Πλάτων, ἀναβιώσεται δὲ ὁ Ἀριστοτέλης, καὶ ὁ ῥήτωρ ὁ Παιανιεὺς καὶ ὁ τοῦ Θεοδώρου καὶ ὁ τοῦ Ὀλόρου. καὶ τούτων μὲν δὴ τῶν ἀνδρῶν εἰ καὶ τὰ ἐν κοινῷ ἀγάλματα ἐκινδύνευεν, ἀλλὰ τά γε ἴδια παρ' ἑκάστῳ καὶ αὐτονόμου, φυλακῆς ἐτύγχανεν καὶ σωτηρίας, καὶ ἱκανὴ αὐτὴ διασώζειν ἡ περιουσία τῆς ἀρετῆς. ὅσοι δὲ ὀπαδοί τε ἐκείνων, καὶ τὰ ἔργα αὐτῶν οὐκ ἐξαρκεῖ ἑαυτοῖς πρὸς διαμονήν, τούτους βιάζεται θνητοὺς ὄντας, ἀθανάτους ποιεῖν ἡ βασιλέως προμήθεια, πολλοὺς μὲν Ὁμήρου ὑποφήτας καὶ νεωκόρους, πολλοὺς δὲ Ἡσιόδου θεραπευτάς, Χρύσιππόν τε αὐτὸν ἤδη καὶ Ζήνωνα καὶ Κλεάνθην, χορούς τε ὅλους ἐκ Λυκείου καὶ Ἀκαδημίας, ἐν βραχεῖ τε εἰπεῖν, στῖφος ἀνάριθμον ἀρχαίας σοφίας, οὐ κοινῆς οὐδὲ ἐν

μέσῳ κυλινδουμένης, ἀλλὰ σπανίου καὶ ἀποθέτου, ἀμενηνόν τε ἤδη καὶ ἐξίτηλον ἐν τῷ πρόσθεν χρόνῳ, ἐν σκότῳ κατορωρυγμένον κινεῖ καὶ ἐγείρει ὥσπερ ἐξ ᾅδου, καὶ τοιαῦτα ἕτερα ὑμῖν καὶ ἀμείνω ἀγάλματα ἀνίστησι τῶν Μουσῶν. ἆρα ἀγνοεῖτε ὅπως ὑμῖν σεμνότερος καὶ βασιλικώτερος ὅδε ὁ κόσμος τῶν περιστόλων τοῦ θεάτρου καὶ τοῦ διαφανοῦς ἱπποδρόμου. καὶ ὅτι φανεῖτε ἂν ἐπ' αὐτῷ δικαίως ἢ ἐπὶ τοῖς λιμέσι τοῖς ἐντὸς πυλῶν, δι' ὧν εἰσρεῖ καὶ ἐμπλέκεται ἡ θάλασσα ἐν μέσαις ταῖς ἀγοραῖς. ταῦτα γὰρ ἅπαντα, οἶμαι, τύρβη καὶ ὄχλος τε βαιαυ * καὶ ἀρχαῖα μὲν τὰ θεάματα, ἀχρεῖα δὲ τὰ ἀκούσματα, μόνος δὲ οὗτος ὁ κόσμος ἀμείνους ποιεῖ τοὺς θεωμένους· καὶ ὅσῳ περ ἄν τις αὐτὸν ἀτενέστερον καθορῴη, καὶ γίγνοιτο ἐνδοτέρω, τοσῷδε ἄπεισιν ὀλβιώτερος τοῦ θεάματος. καὶ τέως μὲν τῇ πόλει ὤναντο τοῦ εἴδους, ὅτι ἔρχεται μὲν εἰς αὐτὴν ἅπαντα ἁπανταχόθεν τὰ ἀγαθά, ἐξέρχεται δὲ οὐδέν, εἰ μὴ γῆ καὶ ψάμμος καὶ φορυτός. νῦν δὲ ὥρα ἐξάγειν καὶ ἐμπορεύεσθαι παρ' ὑμῶν οὐ μὰ Δί' οὐ χρυσόν, οὐδὲ ξύλα, οὐδὲ πορφύραν, ὥσπερ ἐκ μετάλλου ἢ ὄρους ἢ βακτηρείας, ἀλλ' οὐδὲ οἴνου σαμνία, οὐδὲ ὄσπρια, οὐδὲ τραγήματα. ταῦτα μὲν ἐπιεικῶς οἶμαι ὑπάρχειν παρὰ τῶν φαυλοτέρων ἐκκαρποῦσθαι τοῖς ἀμείνοσι. ὃ δὲ ἄρτι ἐμπόριον ὑμῖν κατασκευάζεται βασιλεύς, ἀρετή ἐστιν ἐκ τοῦδε τε φρόνησις τὰ ἀγώγιμα· καὶ ἥξουσιν ὑμῖν ἐπὶ ταύτην τὴν ἐμπορείαν οὐ κάπηλοι καὶ ναῦται καὶ φορτικὸς ὄχλος, ἀλλ' οἱ ἔκκριτοι καὶ φιλομαθέστατοι, καὶ ὅ, τι ἄνθος Ἑλλήνων λόγοι καὶ παιδεία τὰ ἀγοράσματα. μῶν οὖν ὑμῖν φαίνονται ἀπεικότως αἱ Μοῦσαι συστρατεύεσθαι τῷ βασιλεῖ, καὶ διδόναι αὐτῷ νίκας ἐξαιρέτους ὧν ὁ Ἄρης οὐκ ἐκοινώνησε; φέρε δὴ ὑμῖν καὶ τὸν σύμβουλον μηνύσω. δίκαιος γὰρ μὴ σιωπᾶσθαι ὑπὸ τῶν λόγων, τοῖς δὲ λόγοις ἐπαρήξας διολλυμένοις, καὶ

ἄξιος

ἄξιος ἐπαινεῖσθαι τῆς καινουργίας· ὅτι οὐκ ἐνταῦθα ἔστη ἵνα περ οἱ ἄλλοι καταρρήτορες, οὐδ᾽ ἀπόχρην ἐνόμισεν ἀγορᾶς τε ἀσχολίαν παρέχεσθαι καὶ βαλανείων φλογώσεις· ἀλλ᾽ εἰς τὸν ἀέρα προὔβη ἡ γνώμη τῆς προμηθείας, ὥστε καὶ σοφίας ὑμῖν δημόσιον πλοῦτον ἐμηχανήσατο. ἔτι οὖν ἀχθέσεται βασιλεὺς εἰ καὶ ἐγὼ τοὺς ἐμοὺς λόγους ὑμῖν πρὸ τῶν ἄλλων ἐπιδιδοίην, καὶ οὐ πρόσθεν ἐξάγοιμι τείχους, εἰ μὴ ξυλλεγεῖσα ἡ ἐκκλησία δοκιμάσειέ τε ὥσπερ ἐφήβους, καὶ ἐπιθεῖτο τὴν δημοσίαν σφραγῖδα; τηνικαῦτα γάρ μοι ἀτεχνῶς πτεροφυοῦσι καὶ τελειοῦνται, καὶ οἷοί τε εἰσὶν ἐκ τῆς νεοττιᾶς ἀναΐσσειν μετέωροι καὶ ὑψηλοί, καὶ ἀξιόχρεῳ πέποιθε πρός τε αὐτὸν βασιλέα, καὶ παρ᾽ ἐκείνου ἐφ᾽ ἅπασαν γῆν τε καὶ θάλασσαν. καὶ εἴ τι ἂν αὐτοῖς κορώνη λακέρυζα ἐπικρώξειεν, ὅτι φιλοσοφεῖν ποιούμενοι μεθαρμόζονται εἰς τοὺς ῥήτορας, ἱκανοὶ μὲν ἡμῶν ἀμύνασθαι καὶ ἐλέγχειν, ὅτι αἱ κορῶναι αὗται οὐκ ἐγεύσαντο τῆς Πλάτωνος μούσης. εἰ μὴ οἴονται καὶ Πλάτωνα ἐπαινέτην εἶναι καὶ ὑμνοποιὸν τοῦ ἀληθινοῦ βασιλέως, ὁπόταν λέγῃ καὶ γράφῃ αὐτίκα οὑτωσί, τότε ἄριστα τὸν βίον καὶ εὐδαιμονέστατα ἕξειν ὅταν γένηται βασιλεὺς νέος, σώφρων, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής, εὐμαθής. εἰ μὲν οὖν τι τούτων ἐνδεῖ τῶν ῥημάτων, καὶ ἡ σωφροσύνη ἀμφισβητήσιμος, πρὸς ὃν οὐδὲ σεμνὸν ὁ Ἱππόλυτος * ἢ μνήμην ἄν τις ἐπαιτιάσαιτο οὐ μᾶλλον κατέχει τοὺς τύπους ἡ φαντασία ἢ οἱ δάκτυλοι τὰ ἐγγλύμματα; ἢ τὴν ἀνδρείαν, ᾧ οὐκ ἐξὸν εἰρήνην ἄγειν πρὸς τυράννους, πολλῶν ἀθετούντων, τῆς ἑαυτοῦ ῥᾳστώνης ἐπίπροσθεν ἐποιήσατο τὴν ῥωμαίων ἐλευθερίαν; μεγαλοπρέπειαν δὲ τὴν μὲν ἐν δαπανήμασι τί ἄν τις λέγοι; τὴν δὲ ἐν τῷ ἄλλῳ τῆς ψυχῆς εἴ τις ἄρα ποθεῖ, ἐννοησάτω δυοῖν ἀνδροῖν τοῦ μὲν σωτηρίαν, τοῦ δὲ τιμωρίαν. ὧν τὸν μὲν ἰδίᾳ λυπήσαντα, διὰ τὴν ἐς τὰ κοινὰ

ἀρετὴν, διετήρησε καὶ ἐφύλαξε· τῷ δὲ ἔναγχος οὐκ ἤρκεσε λυγρὸν ὄλεθρον ἡ κολακεία καὶ ἡ θωπεία, ὅτι χρηματισμὸν ἐπεποίητο τὴν ἐπίκρισιν τῆς ἀνοίας. ὅπερ οὖν εἶπον, εἰ μέν τι τούτων ἐνδεῖ ὑμῖν τῶν ῥημάτων μᾶλλον ἄν τινα ἐπαγνοίημεν ἡμεῖς, καὶ οὐχ ὅπερ οἴεται ὁ Ἀρίστωνος. εἰ δὲ ὁ μὲν τύπους βασιλικοὺς ἐν κοινῷ ὑπεγράψατο διὰ τῶν λόγων, καί τι παραδείγματος ἀληθινοῦ, ἡμῖν δὲ ἔδωκεν ὁ θεὸς ἐπιδεῖν τὴν μορφὴν ἐν ᾗ ἐξέλαμψαν οἱ τύποι καὶ ἐκφαίνονται, εἴημεν, ὡς ἔοικεν, τοῦ θείου Πλάτωνος οὐ κολακικώτεροι, ἀλλ' ἀτολμότεροι, ὅτι ὁπόσα ἐκεῖνος ὠνειροπόλησεν, ὕπαρ ἡμεῖς τεθεάμεθα.

ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΚΡΑτορος ἐγκωμιάσαντος αὐτὸν πρὸς τὴν γερουσίαν, ἢ χαριστήριος, αὐτὸν ἀποδεικνὺς τὸν βασιλέα μάλιστα φιλοσοφίας μετέχοντα. Λόγος τεσσαρεσκαιδέκατος.



Ρ' οὖν ὑμῖν ὦ ἄνδρες δοκεῖ χρέος ἀποστερῶν, φιλοσοφίας ἐνδίκως μεταποιεῖσθαι; καίτοι Ἀθήνησι τοὺς ὀφείλοντας τῷ δημοσίῳ κατείργει νόμος μὴ κοινωνεῖν τῆς πολιτείας ἕως ἂν τὸ ὀφειλόμενον ἀπολύσωνται. ἐγώ τε αὐτὸς ὀφλισκάνω τε καὶ ἐγγέγραμμαι, οὐ μὰ Δία τῷ δημοσίῳ τῷ ὑμετέρῳ, ἀλλὰ δι' ὃν ὁ ὑμέτερος δῆμος γέγηθέ τε καὶ εὐθυμεῖται. εἰ δὲ οὔπω δῆλον ὑμῖν ὃ λέγω, φαῦλοι ἄρα ἐστὲ μάρτυρες τῶν χρεῶν, καὶ οὐ μέμνησθε ὅτι πάλαι ἐπ' αὐτῷ τούτῳ τῷ ξυμβολαίῳ συνελέγητε εἰς τὸ βουλευτήριον μαρτυρήσοντες. ἐπετρόπευε δὲ τῷ δανείσματι ἀνὴρ γεννάδας καὶ ἔμπλεως παρρησίας, ὃς οὐκ ἐπιτρέψει οὐδὲ καταχαριεῖται ἐξαρνουμένῳ· οὕτω μοι

τὸ χρέος περιβόητον ἐστι, καὶ οὐδεμία μοι μηχανὴ ἀποστρέψαι ἐπιγράφουσι καὶ καταπρίξασθαι. ἀλλὰ καὶ ὑμεῖς οἱ μάρτυρες, εὖ οἶδ' ὅτι, τέως μὲν ἡσυχάζετε ἀναμένοντες ὡς οὔπω παντάπασιν ὑπερήμερον· εἰ δ' ἂν αἴσθοισθε παντελῶς ἀπορραθυμοῦντα, ἐπικείσεσθε καὶ ἐξελέγξετε, καὶ παρέσεσθε εἰς τὸ δικαστήριον καταστησόμενοι ὅποι ἄν τις μετακαλῆται. καὶ εἰ μὲν ἐπὶ χρυσίῳ ἢ ἀργυρίῳ τὸ ξυμβόλαιον ἦν, τάχα ἂν οὐ πάνυ ἐνεμεσᾶτε πρὸς τὴν ἔκτισιν ἀπορουμένῳ. ἐπίστασθε γὰρ, οἶμαι, εἰ μὴ ἀδικεῖτε, ὅτι χρήματα ἐγὼ οὔτε φυλάττειν πάνυ ἔμπειρος καὶ δαήμων, οὔτε αὖ περίεργος, ξυναγείρειν τε καὶ ἀνακτᾶσθαι ῥᾴδιος. ἡ γὰρ τέχνη περὶ ἣν λιπαρῶς ἔχω, οὐκ ἐᾷ με ταύτην εἶναι σοφὸν τὴν σοφίαν. ἀλλ' οὐδὲν θαυμαστὸν, οὐδὲ ἐμῆς μοχθηρίας σημεῖον, εἰ καὶ ὀφλήσας ποτὲ ἀνδρὶ πλουσίῳ, χαλεπῶς τὰ δίκαια ποινύσαιμι καὶ ὑπὲρ τὸν συγκείμενον χρόνον. ὅπερ οὖν εἶπον, εἰ ἦν τοιόνδε τι τὸ δάνεισμα, οὐ σφόδρα ἂν ὑμῶν ὑπετίθουν τὴν μοχθηρίαν· νῦν δὲ χρυσίον μὲν, εἴ τι ἐγὼ ἐδεόμην, εὖ οἶδα ὅτι μᾶλλον ἄν με κατεφόρτισε βασιλεὺς, ἢ πάλαι Κροῖσος Ἀλκμαίωνα τὸν Ἀθηναῖον, ἐκ τοῦ ψήγματος ἐπιτρέψας ὁπόσον ἠδύνατο τῷ σώματι ἀποφέρεσθαι. ἐπεὶ καὶ νῦν τό γε ἐπ' αὐτῷ μέρος τρυφῆς ἥνιος ὀχετὸς καὶ ἀπαθείας λαθών με ἐπαφῆκεν εἰς τὸ δωμάτιον. οὗ ἐγὼ μόλις ἀπῳκοδόμησα καὶ ἀπέφραξα, καὶ οὐκ εἴασα ἐπικλυσθῆναι τὴν οἰκίαν ὄλβῳ μείζονι ἢ φιλοσοφία προσίεται· εἰδὼς ὅτι, ὅπου ἂν λάθῃ τὸ ῥεῦμα τοῦτο αὐτομάτως τε καὶ ἄνευ πόνου ὑπὸ* ἐντεῦθεν ἀναγκαῖον ἐξοικίζεσθαι ἀρετήν. ἀλλὰ σοφώτερος ἄρα ὁ Κωνστάντιος, ὡς ἔοικεν, ἀνδρὶ ξυμβαλεῖν φιλοσόφῳ, ἢ Ἀλέξανδρος ὁ Φιλίππου. ὁ μέν γε ἐπειδὴ τοῖς πεντήκοντα ἅμα ταλάντοις οὐκ ἔτρωσεν οὐδὲ ἔκαμψε τὸν Καρχηδόνιον Ξενοκράτην, ἀλλ' ἀπεκρούσατο γενναίως τὴν προσβολὴν τοῦ χρυσίου, ἀπεῖπε

τε αὐτὸς καὶ ἦρέ τε τὼ χεῖρε, καὶ οὐ προσήνεγκεν ἑτέραν τιάραν ἰσχυροτέραν. βασιλεὺς δὲ ὁ μέγας ἐμηχανήσατο ὅπως ἂν μόνῳ ἐγὼ ὑπεικάθοιμι, καὶ ὑπόσχοιμι οὐχὶ τὰς χεῖρας, ἀλλὰ τὴν ἀκοήν. ὁ γὰρ ἔπαινος ἡδὺ μέν πού ἐστιν ἄλλως καὶ δύσμαχον δῶρον, καὶ παρ' ὁτουοῦν γινόμενον (καὶ γὰρ αἱ σειρῆνες ἐπὶ σκοπέλων ἐπαινοῦσαι καὶ ἐπ' ὀλέθρῳ, μικροῦ προσηγάγοντο καὶ ἐχειρώσαντο τὸν πολύμητιν Ὀδυσσέα) νῦν δὲ δὴ καὶ μόνον τὸ νόημα φερέγγυον πρὸς σωτηρίαν, ὅσα μικρὸν βιβλίον συγγράφων μεστὸν ἀθυμίας, ἵνα οὐκ ἂν σιδηροῦν καὶ ἀδάμαντος στερεώτερον μαλάξειέ τε καὶ ὑποχείριον λάβοι; ὅταν δὲ δὴ καὶ τὸ ἀκουστήριον ἐννοήσω, καὶ ὑμᾶς οἷς τῶν ἐπαίνων ἐκοινοῦντο, καὶ τὴν προσφυῆ τὴν καὶ ἐξηγητὴν τοῦ γράμματος, ὅπως μὲν ἐν κόσμῳ εἱστήκει, τρανώτερον καὶ ἀριδηλότερον τὰ γράμματα ἐξηγούμενος Βάκιδός τε καὶ Ἀμφιλύχου, ὑμεῖς δὲ ὥσπερ ἐν ταῖς πανηγύρεσι μεταμφιεσάμενοι τὰς τηβέννας, καὶ τὰ ὑποδήματα ἀλλαξάμενοι, συγκαθεζόμενοι ἐπὶ τὴν δίφραν, ἐξεβοᾶτε ἐπὶ τοῖς ῥήμασι θαμινά, ἐξαλλόμενοι καὶ μυρίας ἱέντες φωνάς, ζηλοῦντές με τοῦ ἐπαίνου· ταῦτα δὴ ἅπαντα ξυνιόντα ἆρα ἂν καρτερεῖν διαγοίμην; ἀλλὰ Ζήνων μὲν ὁ τῆς στοᾶς ἀρχηγέτης, καίπερ τὰ ἄλλα σεμνὸς ὢν καὶ ὑψηλόλογος, ὅμως ἐγαννύσκετο καὶ ἐλαμπρύνετο, ἐπειδὴ αὐτὸν Ἀθηναῖοι ξένον ὄντα καὶ φοίνικα, ἐπὶ τοῖς λόγοις δημοποίητον ἐποιήσαντο· ἐγὼ δὲ οὕτως * ἀπεχίς τε ἀνήκοος Ἀριστοτέλους, ὃν προυταξάμην βίου τε καὶ τῆς σοφίας, ὥστε πᾶσαν οἴεσθαι τιμὴν τε παρ' ὁτουοῦν καὶ ἐφ' ὁτῳοῦν ἀγαθὸν εἶναι ἀνδρὶ σπουδαίῳ καὶ ἐν καρὸς μοίρᾳ. τε οὐ μέμνημαι ἄρα τῶν λόγων οἷς διορίζει χαυνότητα μεγαλοψυχίας, διορίζει δὲ ὧδε· φησί που καὶ περὶ τιμὰς τὰς μεγάλας, ὥσπερ καὶ περὶ τὰ ἄλλα τὰ λεγόμενα ἀγαθά, εἶναι μὲν ἄμετρον σπουδὴν τοῖς ἀνθρώποις, εἶναι δὲ ἔμμετρον τε ξὺν λόγῳ. τὸν μὲν δὴ ἐπὶ δη-

μου θορύβοις καὶ κρότοις ἐξογκούμενόν τε καὶ ἀγείροντα τὰς ὀφρῦς, ὅτι σφίσιν εἰς θέατρά τε καὶ ἱπποδρόμους πολλὰ χρήματα ἐξέχεε, χαῦνόν τε εἶναι καὶ ξυνέχεσθαι τῇ κακίᾳ ἣ τοὔνομα τοῦτο ἐπιτίθησι· τὸν δὲ τούτων μὲν τῶν θορύβων περιφρονοῦντα, καὶ σμικρὸν οἰόμενον διαφέρειν ῥοθίου κυμάτων αἰγιαλοῖς περιηχούντων, ψῆφον δὲ ἀνδρῶν ἀγαθῶν ἀκολάκευτον ἐπ' ἀρετῇ περὶ πλείστου πάντων ποιούμενον, τοῦτον εἶναι τῷ ὄντι μεγαλόψυχόν τε καὶ μεγαλογνώμονα. ἐπεὶ τί Σωκράτης ὁ Σωφρονίσκου τοῦ μὲν δήμου τὰς ὀργὰς καὶ τοὺς ἐπαίνους ἐν λόγῳ οὐδέποτε ἐποιήσατο; ἐκυδροῦτο δὲ καὶ ἐπεποίθει τῇ τοῦ θεοῦ μαρτυρίᾳ, δι' ἧς ἀνεῖπεν αὐτὸν σοφίᾳ νικᾶν τοὺς τότε ἀνθρώπους· καὶ ᾤετο δεῖν ἐκτίνειν τὸ χαριστήριον τῷ τε Ἀπόλλωνι τῆς μαντείας, καὶ Χαιρεφῶντι, τῆς ἐρωτήσεως. καὶ ἔστι Σωκράτει προοίμιον πεποιημένον ἐν τόνῳ ἑξαμέτρῳ πρὸς τὸν θεόν. εἰ δ' αὖ φήσει τις κολακείαν εἶναι, τῷ Πυθίῳ παραβάλλειν τὸν βασιλέα, Χρύσιππος μὲν ὑμῖν καὶ Κλεάνθης οὐ συγχωρήσει, καὶ ὅλον ἔθνος φιλοσοφίας, ὁ ἐκ τῆς ποικίλης χορός, οἱ φάσκοντες εἶναι τὴν αὐτὴν ἀρετήν τε ἀλήθειαν ἀνδρὸς καὶ θεοῦ. ἐμοὶ δὲ περὶ μὲν θεῶν εὔστομα κείσθω, κατὰ τὸν Ἡρόδοτον * λέγων, ξύλον γὰρ ἦν. Ἀγησίλαον δὲ οἶδα τὸν βασιλέα τῆς Σπάρτης ὅτι Ξενοφῶν ὁ Σωκράτους ὁμιλητὴς οὐκ ὤκνει ἐπαινεῖν καὶ ἀμείβεσθαι μακρῷ βιβλίῳ, ἐπειδὴ αὐτῷ νέμεσθαι διεπράξατο χωρίον τι μεταξὺ Ἤλιδος καὶ Ἀρκαδίας, οὐ πόρρω Σκιλλοῦντος ἐν τῇ φυγῇ. καὶ πρὸς ἐκείνῳ, τόδε εὖ οἶδα, ὅτι σοῦ ὁ Σπαρτιάτης τὰ μὲν ἄλλα φιλότιμός τε ἦν καὶ ὑψηλόφρων, φιλανθρωπίᾳ δὲ καὶ πρᾳότητι τοσόνδε ἐλείπετο τοῦ ἀληθινοῦ βασιλέως, ὅσον καὶ τῇ βασιλείᾳ, εἴπερ τι μέμνησθε τῆς Λυσάνδρου κρεωδαισίας, οὐ μὴν οὐδὲ ἡ χάρις ὁμοία ἀγρὸν ἐργάζεσθαι περίοικα Ἀρκαδικόν, ἢ ἐπαίνου τυχεῖν ἀγήρω τε καὶ ἀθανά-

του τάχα δ' αὖ καὶ αὐτὸς ὁ Ἀρχίδαμος τιμιώτερον ξυνέφη εἶναι τῆς αὐτῆς δωρεᾶς τὸ χαριστήριον Ξενοφῶντος. τὸ μὲν γὰρ λόγος ἦν ὑπὸ φιλοσόφου ξυγγεγραμμένος, ἡ δὲ, εἴ τι δεῖ παρέχειν τῷ εἰληφότι, πυροὶ καὶ κριθαὶ, καὶ τρωκτὰ ὡραῖα, καὶ δορκάδες, καὶ σῦς διώκειν τε καὶ ἀκοντίζειν. ὅθεν μοι καὶ ἄπορος καὶ ἀμήχανος ἡ ἔκλυσις γίνεται μᾶλλον ἢ Ξενοφῶντι. ἐκεῖ μὲν γὰρ ἐνομίζετο ἐν ἀνθρώποις πλοῦτοι μὲν καὶ ἀρχαὶ καὶ σατραπεῖαι, δῶρα ἀγαθῶν βασιλέων, βιβλία δὲ καὶ συγγράμματα καὶ γράμματα, φιλοσοφίας ἔργα καὶ ἀναθήματα· νῦν δὲ ὃ μόνον εἶχον οἱ λόγοι χαριστήριον, δυνάμει τοῦτο αὐτὸς παραλαβὼν ἐδωρήσατο βασιλεύς. οὐκοῦν ἔστι μοι θρύπτεσθαι καὶ ἀκκίζεσθαι καθάπερ Ἰσοκράτης ὁ Θεοδώρου, ὅτι σεμνότερα καὶ ἰσχυρότερα τὰ ἐμὰ δωρήματα, καὶ οὔτε ἐν χρόνῳ γηράσκει, οὔτε ἐν τόπῳ καθείργεται. ὃ γὰρ μέγα καὶ πάμμεγα εἶπον ὑπὲρ τῶν λόγων, μετὰ τῆς βασιλέως γίνεται δωρεᾶς. λείπεται οὖν μοι, ὡς ἔοικε, συμπορίσασθαι ἵππους καὶ ἱμάτια καὶ οἰνοχόους, καὶ πλέθρα γῆς ψιλῆς καὶ πεφυτευμένης, καὶ ταῦτα ἀντεισφέρειν τῷ βασιλεῖ ἐπὶ λόγῳ, εἴπερ γε δεῖ ἀμφοτέρους τὰ δῶρα ἀνταλλάξασθαι. ἀλλ' οὐ γάρ· ἀλλὰ τολμητέον δὴ κατὰ δύναμιν, ὡς τὰ μὲν χρήματα τὰ ἐμὰ, καταγέλαστα, καὶ πενία πολλὴ, καὶ ἅπαντα ἢ ψεκὰς πρὸς ὠκεανὸν, οὐ μόνον ὅσα ἐγὼ κέκτημαι, ἀλλὰ καὶ ὅσα ὁ πατήρ ποτε καὶ ὅσα ἡ μήτηρ, καὶ ὅσα ξύμπαντες Παφλαγόνες. λόγῳ δὲ παραβαλλόμενος πρὸς τὸν λόγον, ἔχω τινὰ (εἰ μὴ μέγα εἰπεῖν) ἐλπίδα οὐ πολλῷ ὀπίσω ἀπολείψεσθαι, οὔτι λέγω τῷ κάλλει τῶν ἐνθυμημάτων καὶ ὀνομάτων (μᾶλλον γὰρ τούτοις ἀγάλλεται βασιλεὺς ἢ στεφάνῳ καὶ τῇ ἁλουργίδι) ἀλλ' εἴπω ὑμῖν ᾧ δοκῶ περιέσεσθαι ἐκ τῆς ἁμίλλης; οἶμαι ἀληθινώτερον φανεῖσθαι τὸν ἐμὸν λόγον ἢ τὸν βασιλέως. τῷ μὲν γὰρ ἀνάγκη ἐστὶ τὸν ἐπαινούμενον παραδραμεῖν καὶ ὑπερβῆναι διὰ τὴν φαυλότητα καὶ οὐδέ-

νειαν· ἐμοὶ δὲ ἀποσχεδίῳ ἀγώνισμα, ἡ ἀλήθεια. καίτοι μέλλων γε ἅπτεσθαι καὶ θιγγάνειν τῆς * ἀνάκλη, ξένον τι ἀτεχνῶς ὑπομβρῷ καὶ ἄπιστον πάθος. διανοίγεται γάρ μοι τὸ στῆθος καὶ ἡ καρδία, καὶ διαυγεστέρα γίνεται ἡ ψυχὴ καὶ τὰ ὄμματα ὀξύτερα τῆς διανοίας. ἐρῶ γοῦν, ὦ μακάριοι, ἃ πρότερον οὐχ οἷός τε ἦν. ἃ δὲ ὁρῶ, δέος ἔχει με ἐξειπεῖν καὶ ἐκλαλῆσαι, μὴ ὥσπερ οἱ νυμφόληπτοι ἐξαπατῶμαι. ὅμως δὲ, οὐδὲ γὰρ αἰσοῦται τὸ φάντασμα, ἀλλ' ἐπιμένει, καὶ ὅσῳ ἂν μᾶλλον ἐγκύπτων ἀτενίζω τοῖν ὀφθαλμοῖν, τοσῷδε ἐναργέστερον ἀναφαίνεται καὶ ἐκκαλύπτεται. ἐθέλω οὖν καὶ πρὸς ὑμᾶς τὸ πάθος ἀνακοινώσασθαι καὶ ἐνδείξασθαι ἣν δύναμαι. ἀλλ' ἐπειδὴ φαίνεταί μοι τῷ λόγῳ τῷ βασιλέως, ὃν ἐπὶ τῷ 'μῷ ὀνόματι περιφέρων ἔπεμψεν εἰς τὴν βασιλίδα βουλήν, τοὔνομα μὲν τοὐμὸν ἄλλως ἐπικεῖσθαι, τῷ ὕμνῳ δὲ αὐτὸς ὑποδεδυκέναι ὁ ξυγγραφεύς. ὥσπερ, οἶμαι, φασὶ τὸν Παῤῥάσιον, ὅτι γράφειν τὸν Ἑρμῆν ἐγχρήσας, τὴν ἑαυτοῦ μορφὴν τῷ πίνακι ἐγκατέθετο, καὶ ἐξαπατᾷ τοὺς ἀνθρώπους τὸ ἐπίγραμμα τῆς εἰκόνος. οἴονται γὰρ ὅτι Παῤῥάσιος ἑαυτὸν ἐτίμησέ τι καὶ ἐκύδηνε τῷ ἀναθήματι, πόῤῥω ὤν τις τῆς ζωγραφίας. ὃς ἵνα φύγῃ ἀπειροκαλίαν τε καὶ φιλαυτίαν, ἀλλοτρίῳ ὀνόματι εἰς τὴν γραφὴν κατεχρήσατο. μὴ οὖν καὶ ὑμεῖς ἐξαπατᾶσθε, μηδὲ ὁρῶντες πόῤῥωθεν καὶ ἀκούοντες ἔπαινον φιλοσόφου καὶ φιλοσοφίας, ἄλλον τινὰ οἴεσθε τὸν φιλόσοφον ἢ τὸν βασιλέα. ἀλλ' ὥσπερ εἴ τις ὀξύτατα αὐτὸς θέων, καὶ ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους, μακρὸν ἐποιεῖτο τάχους ἐγκώμιον, ἐπιδεικνύς τε καὶ ἐξηγούμενος ὁπόσα παρέχεται ὠκύτης ποδῶν ἀγαθὰ τῷ βίῳ τῷ ἀνθρωπίνῳ, φυγεῖν τε ὃ ἄν τις ἐκκλίνῃ, ἑλεῖν τε οὗ ἄν τις ἐφίηται, καὶ ὁδὸν ὡς ῥᾷστα ἀνύειν, καὶ θηρεύειν ἵππων οὐ προσδεόμενον, καὶ ταῦτα ἔλεγεν ἀποβλέπων εἰς τινα ἄνθρωπον ἄλλον δὴ ἐκεῖ μόλις βαδίζοντα σὺν βακτη-

εἰα, δῆλος οἶμαι ἐστὶν ὢν ὁ ἀνὴρ τὴν ἑαυτοῦ ἐξυμνῶν ποδώκειαν δι᾽ ἀλλοτρίου παραπετάσματος. οὕτω δὴ βασιλεὺς ὁ τῷ ὄντι καὶ οὐ ψευδώνυμος αὐτὸς τὴν ἑαυτοῦ ψυχὴν ἐνδείξασθαι ἐπιθυμήσας, φιλοσοφίαν τῷ λόγῳ ὑπετυπώσατο. ὑμεῖς δὲ ἴσως ὑπολαμβάνετε, ἂν μέν τις ἄνω καὶ κάτω περὶ συλλογισμῶν διαλέγηται, καὶ οὔτινας λόγους ἐξετάζειν οἷός τε ᾖ, καὶ τοὺς ἐγκεκαλυμμένους ἀποκαλύπτειν, καὶ τινάς τε αὖ καταφάσκοντας καὶ ἀποφάσκοντας, ὥσπερ Φίλων ἢ Ἡλιόδωρος, ὧν τὰ λαμπρὰ ἀναθήματα, ὁ κυριεύων καὶ ὁ κερατίνης, σοφίσματα δυσμήχανα καὶ κακοῦργα, καὶ ὧν χαλεπὴ μὲν ἡ ξύνεσις, ἀχρεῖος δὲ ἡ ἐπιστήμη, ὥσπερ ὁ ζυγόδεσμος τῆς Μίδου ἁμάξης, τοῦτον μὲν καὶ τὸν τοιοῦτον φιλοσοφεῖν· ἢ μᾶλλόν γε ὅστις ὑπὲρ ἀρετῆς θαμὰ διεξίοι καὶ θαρσαλεότητος καὶ ἀνδρείας, ἐπὶ σκιμποδίου καθήμενος, πρὸς μειράκια τρία ἢ καὶ τέτταρα, οὐχ οἷός τε ὢν τοῦ δωματίου προκύψαι ὑπ᾽ ἀσθενείας, ἢ αὖ περὶ πολιτείας μὲν καὶ νόμων οὗ μηδὲ ὁ ἀγρὸς εὖ οἰκεῖται· καὶ περὶ μεγαλοπρεπείας καὶ τῶν μεγάλων δαπανημάτων ὁ μηδὲ ἀψάμενός ποτε χρυσοῦ καὶ στατῆρος. καὶ ὅπως δεῖ κατέχεσθαι τὴν ὀργὴν, ὃν καὶ ἀγανακτοῦντα οὐδεὶς εὐλαβεῖται, καὶ ὅπως κρείττων εἶναι ἐπιθυ* μηδὲν πλέον καὶ ὑπηνέμων. ὅστις δὲ ἐν ἐξουσίᾳ μὲν ἀδικίας, δικαιότερος Ἀναξαγόρου· ἀδείᾳ δὲ ἀκολασίας, σωφρονέστερος Ξενοκράτους· τρυφᾶν δὲ ὑπὲρ ἐκεῖνον τὸν Σαρδανάπαλον ᾖ, ῥᾷον ἀνέχεται λιμοῦ καὶ δίψης ἢ Διογένης ὁ σινωπεύς· ἐξὸν δὲ αὐτῷ ἅπαντα ποιεῖν ὀργισθέντι, πρᾳότητι νικᾷ τὸν Ἀρίστωνος· ἀνδρείαν δὲ οὐκ ἐπιτάττει, ἀλλὰ καὶ ἐργάζεται· καρτερίαν δὲ οὐ διδάσκει, ἀλλὰ καὶ ἐκπονεῖ· φιλανθρωπίαν δὲ οὐχ ὅ,τι ποτέ ἐστι λέγει, ἀλλὰ καὶ ἀπολαύειν παρέχεται· τοῦτον εἰ φαίημεν εἶναι τὸν ἀληθινὸν φιλόσοφον, ψευδεῖ ἄρα καὶ οὐ προσήκοντι ὀνόματι τὸν ἄνδρα θερα-

πυθόμεθα; καίτοι οὐχ οὕτως ἔχομεν ὑπὲρ τῶν ἄλλων· ἀλλὰ καὶ τέκτονα ὀνομάζομεν ἐκ τοῦ ἔργου, καὶ σκυτοτόμον ἐπὶ τοῖς ὑποδήμασι, καὶ ἰατρὸν, εἰ ἀκοῖτο τὰ νοσήματα. καὶ τί ἐγὼ παραδείγματα ἀπομηκύνω, καὶ οὐκ ἐρωτῶ τὴν μηχανὴν, μᾶλλον δὲ οὐ ζηλῶ τοὺς ἐπὶ τοῦ βήματος ῥήτορας; ἴστε γάρ που ὅτι οἱ ῥήτορες, ἕως μὲν ἂν σημεῖά τε καὶ εἰκότα παρέχωνται καὶ ἐγγράφωσι, πολλάκις ἀπιστοῦνται ὑπὸ τῶν δικαστῶν, καὶ δοκοῦσι τὴν τέχνην μὲν ἐπιδείκνυσθαι, τὸ δὲ ἀληθὲς μήπως ἐλέγχειν· ὅταν δὲ νόμον ὑπαναγνῶσι Δράκοντος ἢ Σόλωνος ἢ καὶ Κλεισθένους, τὴν ψῆφον ἤδη ὁ καθήμενος ἀντεπίζεται. ἔχω οὖν καὶ ἐγὼ ἐφ' οἷς λέγω, πάνυ πολλοὺς νόμους οὓς συνεγράψαντο οἱ σεμνότατοι νομοθέται φιλοσοφίας, καὶ ἀμείνους πολλῷ Ζαλεύκου τοῦ Λοκροῦ καὶ τοῦ Θουρίου Χαρώνδα, ὁ πάμμεγας Πλάτων καὶ Ἀριστοτέλης ὁ Νικομάχου. καὶ αὐτὰ ὑμῖν τῶν ἀνδρῶν τὰ γράμματα ἀναγνώσομαι, λαβὼν ἀπὸ τῶν κύρβεων καὶ ἀπολέξας. λέγει τοίνυν ὁ μὲν ἕτερος νομοθέτης ἐν οἷς φησιν ὑπὲρ τῆς ἠθικῆς ἀρετῆς, αὐτοῖς τούτοις τοῖς ῥήμασιν, ὅτι τέλος αὐτῆς οὐ γνῶσις, ἀλλὰ πρᾶξίς ἐστι. καὶ αὖθις, οὐ γὰρ ἵνα εἰδῶμεν τί ἐστιν ἀρετὴ σκοπούμεθα, ἀλλ' ἵνα ἀγαθοὶ γενώμεθα διὰ τῶν ἔργων. καὶ ἑτέρωθι· πρὸς μὲν γὰρ τὰς ἄλλας τέχνας τὸ εἰδέναι πάμμεγα δύναται, πρὸς δὲ τὰς ἀρετὰς τὸ μὲν εἰδέναι οὐδὲν ἢ μικρὸν ἰσχύει· τὰ δὲ ἔργα, οὐ μικρὸν, ἀλλὰ τὸ πᾶν. εἰ μὲν οὖν ἤδη τις ἐπιδεῖξαι δυνήσεται τῆς βασιλέως ἀρετῆς ἐναργεστέραν τὴν Χρυσίππου ἢ τὴν Ἀντιπάτρου, οἳ δὴ καλάμῳ καὶ μέλανι τὸν ἅπαντα χρόνον τὴν ἀνδρείαν ἐπεδείξαντο καὶ τὴν δικαιοσύνην καὶ τὴν καρτερίαν, τάχα ἂν ἐγὼ θεραπεύοιμι καὶ ὑπερχοίμην· εἰ δὲ τῶν μὲν ἄχρι τοῦ διδασκαλείου ἡ γενναιότης, βασιλέως δὲ ὕπαιθρα τὰ ἀγωνίσματα, τοῦ δὴ χάριν πρὸς τοῦ Διὸς, τοὺς μὲν, φιλοσόφους

καλεῖν οὐκ ὀκνοῦμεν, βασιλέας δὲ αἰσχυνόμεθα; ὅτι γὰρ μὴ ἄλλο τι τὸ φιλοσοφεῖν ἐστὶν ἢ τὸ ἐργάζεσθαι ἀρετήν, ἀκούετε αὖ πάλιν ῥῆσιν ἑτέραν, οὐ τὴν ἀπὸ σκυθῶν, ἀλλὰ τὴν ἀπὸ σταγίρων, καὶ εἰ σμικροτέρα ἐστὶν, ἀλλὰ ἀκούετε. ἢ οὐ λέγει ὅτι ἐκ τοῦ τὰ δίκαια πράττειν ὁ δίκαιος γίνεται, καὶ ἐκ τοῦ τὰ σώφρονα, ὁ σώφρων· ἐκ δὲ τοῦ μὴ ταῦτα πράττειν οὐδεὶς ἂν οὐδὲ μελλήσειεν ἀγαθὸς γενέσθαι; ἀλλ' οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὸν λόγον καταφεύγοντες οἴονται φιλοσοφεῖν· ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δὲ οὐδὲν τῶν προστασσομένων. ὥσπερ οὖν οὐδὲ ἐκεῖνοι εὖ ἕξουσι τὸ σῶμα, οὕτω θεραπευόμενοι, οὐδὲ οὗτοι τὴν ψυχὴν, οὕτω φιλοσοφοῦντες. εἰ οὖν οὐ φιλόσοφοι, ἀλλὰ ψευδώνυμοι καταφεύγοντες τὸν λόγον * δεικνύμενοι αὐτῇ τῶν λόγων, ἀληθινῶς ἂν καὶ ἐνδίκως ἀξιοῖντο τοῦ προσρήματος. ἀλλὰ δὴ καὶ τῶν ἀττικῶν ἀκούσατε νόμων, οὐ τοῦ Σόλωνος, ἀλλὰ τῶν τοῦ Σόλωνος ἀπογόνων. καίτοι σχεδόν τι ἅπασα καταπέπλησται ἡ τοῦ θείου Πλάτωνος συγγραφὴ, καὶ οὐκ ἔστιν ὀλίγα ῥήματα ἐξελόμενοι ἐπιλέγεσθαι ὑμῖν, ὥσπερ γραμματεῖα, ἀλλὰ βιβλίων ὅμαδος ὅλος ἐπ' ἀλλήλοις συντεταγμένος ἀποχυείζεται μάλιστα εἶναι φιλόσοφον τὸν βασιλέα, πολιτεῖαί τε αἱ κλειναὶ, καὶ οἱ θαυμάσιοι νόμοι, καὶ πᾶσα ἡ περὶ τὴν πλάτανον διατριβὴ τὴν ἀμφιλαφῆ τε καὶ ὑψηλήν. ἡ γὰρ εὐδαίμων ἐκείνη καὶ μακαρία χορεία, ἣν αὐτὸς μὲν φησὶ μετὰ τοῦ Διὸς χορεύειν, ἄλλους δὲ μετ' ἄλλων θεῶν, καὶ οἱ τὸν ὀρώμενον γνωματεύοντες, φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν ἐστί. καὶ ἄλλα δὴ ὅσα μυεῖα ἐκ ἀμυδρῶς ἐστι λέγοντος ὃ λέγω, οὐδὲ πρὸς μόνοις τοῖς ὀξύτερον ἀκούουσιν. ἀλλ' ἐμοὶ ἀπόχρη τὸν κολοφῶνα ἐπιμαρτύρεσθαι εἰς ὃν ξυνδεῖ καὶ ἀνάπτει πάντα τὰ ἅμματα τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς,

διατείνων καὶ συνέλκων ἐκ γῆς εἰς τὸ ἄκρον τοῦ οὐρανοῦ. τὸ γὰρ δὴ κεφάλαιον αὐτοῦ καὶ τὸ πέρας καὶ κορυφὴ ξυμπάντων τῶν λόγων τοῦτό ἐστιν, ὅτι μηδὲν ἄλλο ἐστὶ φιλοσοφία ἢ ὁμοίωσις κατὰ τὸ δυνατὸν θεῷ. τοιοῦτόν ἐστιν ἔποιτ' ἂν ὑμῖν ἐπισκοπεῖσθαι καὶ ἐξετάζειν τί πράττων ὁ θεὸς, θεός ἐστι, πότερον ὑπὲρ τῶν πραγμάτων ἐξηγούμενος καὶ εἴπων τῷ αἰτοῦντί τι καὶ ἀπορῶντι, ἢ ἄλλου του χρὴ ἐπειγομένους τὸν μέλλοντα αὐτῷ κατὰ μικρόν γέ τι ἀπεικασθήσεσθαι. οὐδὲν δὲ ἴσως ἡμᾶς ἂν δέοι πράγματα ἔχειν ζητοῦντας, ἀλλ' αὐτὸς ὁ Πλάτων ἐρεῖ τὸ ἔργον τοῦ θεοῦ λαμπρᾷ καὶ μεγάλῃ φωνῇ. βουληθεὶς γὰρ, φησὶν, ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τοῦτο πάντως ἄμεινον εἶναι. πρὸς Διός. οὐ γὰρ οἷός τε εἰμὶ καρτερεῖν καὶ τοῦ λόγου τὸ ἐφεξῆς ἀναμένειν, ἀλλά με ἀποσοματίζοντα τοῦ Πλάτωνος ῥῆσιν ἐσπάραξέ τι καὶ ἔνυξε τὴν διάνοιαν, καὶ οὐκ ἀνέχεται ἠρεμεῖν, ἀλλὰ οἷόν τε ἐστὶ προσπηδᾶν καὶ προεξάλλεσθαι τῷ ἐν τάξει ἀκολουθοῦντος. ἐάσατέ οὖν καὶ ἐπιτρέψατε ἐξενεγκεῖν εἰς φῶς παρὰ τὸν καιρὸν μᾶλλον ἢ ἐξαμβλῶσαι, καὶ οὐκ εἰς μακρὰν ἐπανήξω εἰς τὸ συνεχὲς καὶ ἑπόμενον τοῦ λόγου. εἰ γὰρ ἐγὼ μόνα δύο ὀνόματα τῶν ὑπὸ Πλάτωνος γεγραμμένων μεταβαλών τε καὶ μεθαρμόσας, ἐρεσχελοίην πρὸς ὑμᾶς καὶ ἀγροικιζοίμην, οἷα πολλὰ εἰώθασιν οἱ νέοι Πλάτωνος θιασῶται, ὅτι ταῦτα πάντα συγγέγραπται τῷ φιλοσόφῳ οὐδὲν ἥμιον πρὸς μαντείαν καὶ προφητεύοντι περὶ τοῦδε τοῦ βασιλέως, εὖ οἶδα ὅτι χαλεπῶς ἂν μεθέξοιτε εἰ πειράζω καὶ σκαιωροῦμαι περὶ τὴν λέξιν. ἀθρεῖτε οὖν καὶ * φυλάττετε. ἰδοὺ γὰρ λέγω, ὅτι βουληθεὶς ὁ τῆς γῆς βασιλεὺς ἀγα-

τὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ παραλαβὼν βασιλείαν οὐχ ἡσυχίαν ἄγουσαν, ἀλλὰ κινουμένην πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν ἤγαγεν ἐκ τῆς ἀταξίας· μηδ' ἔχοι τις ἂν εἰπεῖν οὕτω ῥᾳδίως ἢ παραλλάττειν τὰ ῥήματα; ἄκουε καὶ τόδε ἔτι προσθῶμεν (οὐδὲν γὰρ ἧττόν ἐστι προσφυές) ὅτι ψυχὴ κακεργάτις καὶ ἔμπληκτος ταύτης ἦν αἰτία τῆς ἀταξίας, ἐπειδὴ μὴ ἀρχὴν ὧν οὐ προσῆκον ἦν. αὕτη γε μὴν καὶ παρωσαμένη τὴν ἔμφρονα μοῖραν καὶ τοῦ σπέρματος τοῦ ἀρχικοῦ, πάντα χρήματα ἐτάραξε Τυφῶνος δίκην, ὃν οἱ λόγοι φασὶν Αἰγυπτίων, ὅτι τὸν Ὄσιριν κατακόψας, μετεποιεῖτο ἀρχῆς μηδὲν προσηκούσης, καὶ αὐτὸν διὰ τοῦτο ὁ Ζεὺς κεραυνῷ καὶ πυρὶ καταναλίσκει, καὶ ῥύεται τοὺς Αἰγυπτίους τῆς ἀλλοκότου καὶ βαρβαρικῆς βασιλείας. ταῦτα γὰρ ἄντικρυς, οἶμαι, καὶ ἄνευ τῆς ἀρχαίου σοφίας μεταφέρων τις καὶ ἐφαρμόζων τῷ βασιλεῖ, οὐκ ἂν ἁμάρτοι εἰκόνος ἀληθινῆς τε καὶ ἐναργοῦς· πλὴν ὅσον γε οὐ πρὸς ἕνα μόνον τυφῶντα, ἀλλὰ πολλοὺς καὶ πολλαχοῦ ἀναφυέντας, τοὺς μὲν, μείζους, τοὺς δὲ, ἐλάττους, καὶ τοὺς μὲν, πρεσβυτέρους, τοὺς δέ, ἀκμάζοντας, τοὺς δὲ, νέους, τὸν μὲν λόγῳ, τὸν δὲ σιδήρῳ, τὸν δὲ μηδ' αἰσθανόμενον ἐχειρώσατο. ἀλλὰ πόθεν δεῦρο ἐξετραπόμεθα; δεῖ γὰρ, ὡς ἔοικε, τὴν αὐτὴν ἐπανιέναι. ἐδείκνυμέν που, εἴ γε μεμνήμεθα, ὡς σχεδόν τι ἀπαραλλάκτου ὁ πάνσοφος Πλάτων ξυνῷ ὀνόματι πορβύεσθαι ὑπολαμβάνει τὸν ἀληθινὸν βασιλέα καὶ τὸν φιλόσοφον. πρὸς γὰρ τὸ αὐτὸ παράδειγμα ἀμφοτέροις ἥτε ἅμιλλα καὶ ἡ σπουδή· ἀλλὰ τῷ μὲν ἄχρι λόγου καὶ ἐπιστήμης, τῷ δὲ, ἄχρι τοῦ πράγματος καὶ τοῦ ἔργου. τὸν μὲν γὰρ τοῦδε τοῦ ξύμπαντος βασιλέα ὁ μὲν ἐπίσταται μόνον, ὁ δὲ καὶ μιμεῖται. ὁμοιότερον δὲ ἀεὶ τοῦ γινώσκοντος τὸ ἐργαζόμενον. καὶ τὸν μέγαν ἡγεμόνα ἐκεῖνον τὸν ἐν οὐρανῷ τὸ πτηνὸν ἅρμα ἐλαύνοντα, καὶ πάντων ἐπιμελούμενον

καὶ διακοσμοῦντα, ᾧ ἕπεται παρ' ὅτῳ πρεσβυτέρῳ στρατιὰ θεῶν τε δαιμόνων * παρὰ τὸν Ἰλισὸν κατακεκλιμένος, μειρακίου Ἀττικοῦ ἀκροώμενος. ὁ δὲ καὶ ἔργῳ ζηλοῦν οἷός τε ἐστίν, ᾧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλεν, ᾧ ἀπὸ τῆς θείας ἡ ἀνθρωπίνη ἕπεται στρατιὰ κατὰ μοῖραν κεκοσμημένη, οὗ τῷ νεύματι ἔνεστιν, ὥσπερ τοῦ Διός, κυβερνᾶσθαι καὶ ἄγεσθαι τὰ ἀνθρώπινα. οὐκ ἐτὸς ἄρα καὶ ὁ τῆς Καλλιόπης χορὸς οὐ παύεται ἀνακαλῶν τοὺς βασιλέας διοτρεφεῖς τε καὶ διογενεῖς καὶ Διὶ μῆτιν ἀταλάντους. καὶ νῦν ἐπειδὴ τοῖς νόμοις παρέχομαι τῷ δικαστηρίῳ, καὶ τὰ ἐφεξῆς μιμητέον μοι τοὺς ῥήτορας, καὶ δεικτέον ὡς καλοὶ οἱ νόμοι καὶ ἀληθινοὶ καὶ ξυμφέροντες. τῷ γὰρ ὄντι κινδυνεύει τοσαῦτα εἶναι εἴδη πολιτειῶν ὅσα περ καὶ ἀνθρώπου ψυχῆς. οὐ γάρ που ἐκ δρυὸς οὐδ' ἐκ πέτρης συνίστανται αἱ πολιτεῖαι, ἀλλ' ὅτι ἁπασῶν ἴχνη καὶ σπέρματα τῇ ψυχῇ ἐμπέφυκε τῇ ἀνθρωπίνῃ. ποικίλον γάρ που καὶ πολύχρουν χρῆμα ἡ ψυχή, ὥσπερ ἡ πόλις, καὶ ἔνι μὲν βασιλικὸν ἐν αὐτῇ, ἔνι δ' αὖ θυμοειδές τε καὶ μαχητικόν, ἔνι δὲ καὶ δῆμος πολύς, ὁ μὲν χρηματιστής, ὁ δ' ἀργὸς καὶ φιλήδονος. τῶν μὲν δὴ ἄλλων ἀνθρώπων ἢ δημοκρατεῖται ἡ ψυχή, ἢ ὀλιγοκρατεῖται, ἢ τυραννεύεται. ἢ γὰρ ἡδονὴ παραλαβοῦσα τὰ σκῆπτρα, ἀφαιρεῖται τὰ ἄλλα γένη τῆς ἐλευθερίας, ἢ τὸ φιλοκερδές τε καὶ φιλοχρήματον, ὥσπερ ἐν ταῖς ἀπὸ τῶν τιμημάτων ὀλιγαρχίαις· ἢ τὸ μαχητικόν τε καὶ θυμοειδές, ὥσπερ ἐν Κρήτῃ ποτὲ καὶ Λακεδαίμονι. ἢ ἀναμὶξ τὰ φῦλα πάντα σὺν πολλῷ θορύβῳ διακληροῦνται καὶ διαλαγχάνει τὴν ἀρχήν. μόνου δὲ τοῦ φιλοσόφου βασιλεύεται ἡ ψυχή· καὶ ἀρχὴ μὲν ὁ νοῦς τὸν ἅπαντα χρόνον, τὰ δὲ ὅπλα φορεῖ ὁ θυμὸς ᾗ ἂν ἐκεῖνος ἡγῆται· ὁ δὲ ἄλλος ὄχλος κάθηται ἐπὶ τοῖς ἔργοις τοῖς ἑαυτοῦ, καὶ οὐκ ἀμφισβητεῖ τῆς ἀρχῆς. καὶ ἐντεῦθεν μάλιστα, ὦ μακάριοι,

τὰ δύο ταῦτα ὀνόματα, ὁ βασιλεὺς καὶ ὁ τύραννος, πάνυ ἀλλήλοις πολεμεῖ καὶ ἀνθέστηκε· καὶ δὴ οὐκ αἰσχύνεται συμβῆναί ποτε οὐδὲ ξυνδραμεῖν, ὥσπερ οὐδ᾽ αὖ τοῖς οὐδὲ ἡδονὴ συνελθοίτην· ἀλλ᾽ ὅπως ἂν τὸ ἕτερον ἀνθαλῇ, καταφθίνει τὸ ἕτερον καὶ μαραίνεται. τῇ οὖν ἐναντιοῦσθον καὶ διαφέρεσθον· ἄρχει μὲν γὰρ ἄμφω ἀνθρώπων, καὶ οὐχὶ τὸ μὲν, ἵππων, τὸ δὲ, ἀνθρώπων, ἀλλὰ τὸ μὲν ξὺν ἀρετῇ καὶ ἐπ᾽ ἀγαθῷ τῶν ἀνθρώπων τῶν ἀρχομένων, τὸ δὲ, ξὺν κακίᾳ καὶ ἐπὶ μόνῃ τῇ ἑαυτοῦ ἀπολαύσει. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὸ μὲν, θεοειδὲς νομίζουσι καὶ μακάριον, τὸ δὲ πεφρίκασι καὶ ἐπαρῶνται. πάλιν τοίνυν ὥσπερ παλαιστὴς ὁ λόγος, πολλὰ ἐξελεγχθεὶς, τὴν αὐτὴν παρέχει λαβὴν, καὶ δείκνυσι μάλιστα φιλόσοφον τὸν βασιλέα, ὅτι μάλιστα ἐπιτρέπει τὰ αὐτοῦ πράγματα τῇ τοῦ λόγου κηδεμονίᾳ, ὃν οὐ δεδίασιν, ἀλλ᾽ ὑπὲρ οὗ δεδοίκασιν οἱ ἀρχόμενοι. τοῦτον οὐχ αἱροῦνται ἐν συμποσίῳ ἄνθρωποι ἐκ μέθης καὶ πλησμονῆς, ἀτεχνῶς ἐπιδείπνιόν τινα βασιλέα, οὐκ εἰς μακρὰν οἰμωξόμενοι μετὰ τὴν κραιπάλην, ὥσπερ ἐν κρονίοις. φύεται δὲ αὐτόματος καὶ ἐκτρέφεται ὥσπερ ἐν σμήνει αὐτοφυὴς ἐκ γενετῆς καὶ αὐτοδίδακτος βασιλεὺς, ᾧ συμπεριβομβεῖ καὶ συμπέτεται ἑκούσιον τὸ σμῆνος καὶ ξὺν ἁρμονῇ οὐκ ἐπειδὴ τῷ σώματι ὑπερφέρει, καὶ μείζων ἐστὶ τῆς φύσεως, ἐννεόργυιός τις καὶ ἐννεάπηχυς, οἵους ᾄδουσι τοὺς Ἀλωάδας οἱ ποιηταί, οὓς ἡ περιττεία τοῦ σώματος εἰς ἄτοπα ἐξήνεγκε φαντάσματα καὶ ἀλλόκοτα, ὀρῶν τινὰς ἐποικοδομήσεις καὶ ἀναβαθμοὺς εἰς οὐρανούς. οὕτω δὴ καὶ Αἰθίοπες ἐχειροτόνουν τὸν βασιλέα πήχει καὶ μέτρῳ γεωματεύοντες τὴν ἀρετήν. ὁ δὲ τῇ φύσει βασιλεὺς, ὃν οὐχ ἵππος ἐποίησε χρεμετίσας, οὐδὲ κράνος χαλκοῦν ἀντὶ φιάλης, οὐδὲ λυδὴ γυνὴ ὀργιασθεῖσα ὅτι γυμνὴ ἄκουσα ἑωράθη· φιλοσοφία δὲ μάλιστα δείξασα ὅτι κρείττων ἐστὶ τῶν ὑπηκόων.

τιάρα οὐ ποιεῖ βασιλέα, οὐδὲ κάνδυς, οὐδὲ μανδύη, οὐδὲ ἀκινάκης χρυσοῦς, οὐδὲ στρεπτοί τε καὶ ψέλλια, οὐδὲ ῥαβδοφόροι καὶ δορυφόροι καὶ μηλοφόροι, καί τις ἀθάνατος ἀριθμὸς ἀποθνησκόντων στρατιωτῶν. ταῦτα γὰρ ἅπαντα καὶ Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ, καὶ Ξέρξῃ τῷ ἀλαζόνι, ὃς οὐδὲ πλεῖν οὐδὲ βαδίζειν ἠξίου κατὰ ταὐτὰ τοῖς ἄλλοις ἀνθρώποις, ἀλλὰ μετεποίει καὶ ἐνήλλαττε τὴν πορείαν. τοιγαροῦν ἐδίωκον αὐτὸν φυγάδα ἐκ τῆς Ἑλλάδος ἄνδρες πένητες καὶ αὐτουργοί, μετὰ φρονήσεως μόνης καὶ δικαιοσύνης, Θεμιστοκλῆς ὁ Νεοκλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου. ὃν δὲ φιλοσοφία δορυφορεῖ καὶ τιθηνεῖται, τούτου κρατοῦσιν ἐν μὲν θαλάσσῃ, πλέουσαι νῆες, ἐν δὲ γῇ, πεζεύοντες οἱ στρατιῶται· εἴκει δὲ αὐτῷ καὶ δύσβατα ὄρη ἄνευ διορυχῆς, καὶ λειόπεδα γίνεται ὑπερβαίνοντι τῶν πεδινῶν τε καὶ χθαμαλῶν. ποταμὸς δὲ οὐκ ἐπιλείπει, ἀλλὰ καὶ πλημμυρῶν ὑπεραγωνίζεται καὶ διαμάχεται ὑπὲρ βασιλέως τῷ Ξέρξου ἐγγόνῳ. ἐξαρκεῖ δὲ αὐτῷ πολλάκις ὁ λόγος ἀντὶ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν. καὶ οἱ μὲν ὁπλῖται ἑστήκασι κεκλιμένοι ἐπὶ τῶν ἀσπίδων, οἱ δὲ ἱππεῖς, ἐγκεχαλινωμένοι τοὺς ἵππους, οἱ δὲ τοξόται, τὰ τόξα ἀνέντες, οἱ δὲ σφενδονῆται, χαλάσαντες τὰς σφενδόνας. βασιλεὺς δὲ μόνος καὶ ἄοπλος, ἄτερ αἰχμῆς, ἄτερ μαχαίρας μονομαχεῖ ἐπὶ τοῦ βήματος, καὶ οὐδὲ τὼ χεῖρε προσενεγκὼν ἀφαιρεῖται τὴν ἁλουργίδα, καὶ ἰδιώτην ἀποφαίνει τὸν συλήσαντα τὸν βασιλέα. ὡς δέ τι σοφὸν ἡ τραγῳδία καὶ φθέγγεται ἐπάξια τῆς φθεγγομένης, Πολλὰ ἐξαι- «
ρεῖ λόγος ἃ καὶ σίδηρος πολέμιος δράσειεν ἄν. καίτοι Πε- «
ρικλῆς ὁ Ξανθίππου, οὗ τοῖς χείλεσιν ἐπεκάθιζε Πειθώ, πολλάκις ἀπὸ τοῦ βήματος τῶν Ἀθηναίων κατέβη, ἀπαλλάξας ὡς οὐκ ἐβούλετο. ὅστις δὲ ἐν τοσαύταις μυριάσιν ἀνδρῶν προαδικησάντων καὶ ὅπλα ἐχόντων, ὧν οὔτε ἡ φύσις ἦν μία,

οὔτε ἡ γνώμη, οὔτε ἡ γλῶττα, ἵσταται ὑψοῦ ἄτρεπτος καὶ ἀνέκπληκτος, καὶ μόνῳ πέποιθε τῷ λόγῳ πρὸς τὸν ἀγῶνα, τοῦτον ἀλαξησόμεθα εἰπεῖν πρὸς φιλίου, τὸν κορυφαῖον φιλόσοφον; ἀλλ' Ὀρφέα μὲν συναριθμοῦμεν τοῖς σοφοῖς τε καὶ θαυμασίοις ἀνδράσιν, εἴτω πιθανὸς ὁ Ὀρφεὺς ὅτι ὄρνιθας καὶ βοτὰ ἐκήλει τῇ δυνάμει τῆς μουσικῆς· τὸν δὲ πραΰναντα τε καὶ μαλάξαντα ἄνδρας λεόντων αὐθαδεστέρους, ὀρρωδήσομεν οὕτω καλεῖν, ὡς σεμνοτέρῳ ὀνόματι καλλωπίζοντες; ὑμνοῦσι μὲν οὖν καὶ Σπαρτιᾶται ἀναίμακτόν τινα καὶ ἄδακρυν νίκην, δι' ἧς Ἀρκάδων ἐκράτησαν μετὰ τὴν ἐν Λεύκτροις συμφοράν. ταύτης δὲ οὐκ οἶδα ἣν ἄν τις νίκην φαίη ἱεροπρεπεστέραν τε καὶ ἀγλαοτέραν, οὐδὲ φιλοσόφῳ μᾶλλον προσήκουσαν, ἣ ποίαν Πλάτων οὐκ ἐνίκησε Διονύσιον, οὔτε Δίων ὁ Ἱππαρίνου, ἑταῖρος ὢν Πλάτωνος καὶ ἀκουστής· ἀλλὰ καὶ στρατιώτας συλλεξάμενος ἐξ Ἀκαδημίας, μόλις ἐξέωσε τὸν τύραννον τῆς πατρίδος. καὶ ἦν θέαμα ἄπιστον τοῖς τότε Ἕλλησι, Διονύσιος μετὰ τὴν τυραννίδα Συρακουσίων περιπατῶν ἐν τῷ Κρανείῳ. ὁπόσον δέ ἐστιν ὑπ' ἀληθινοῦ φιλοσόφου λόγῳ ἁλῶναι, ἤσθετο ἀκριβῶς ὁ καὶ τοὔνομα καὶ τὴν τύχην πάλαι στρατιώτης. ἴδιοι γὰρ οὗτοι νικῶσιν ἐπ' ὠφελείᾳ τῶν ἡττωμένων. ποιεῖται οὖν αὐτὸν μετὰ τὴν νίκην ὁ βασιλεὺς μακροβιώτερον Ἀργανθωνίου, χορηγὸν ἀπράγμονος καὶ ῥαθύμου τρυφῆς, πάλαι ἂν ἴσως καὶ πρόπαλαι διελόμενον ὑπὸ τῶν παρ' ἡλικίαν φροντίδων. οὕτω δὲ ἄρα βασιλέως προμηθεῖται τὸ δαιμόνιον καθαρὰς φυλάξαι καὶ δικαίου φόνου τὰς χεῖρας, μᾶλλον Φερεκύδου καὶ Πυθαγόρου, ὥστε καὶ τὸν ἕτερον τῶν τυράννων, ᾧ θάνατος ἐφ' οἷς ἐπαρῴνησεν ἦν ἀναγκαῖος, συνήλασέ τε καὶ συνηνάγκασεν ἑαυτοῦ γενέσθαι τυραννοκτόνον. ἀλλ' ἵνα μὴ θέοντες, τὸ τοῦ λόγου, τυφλὰ τέκωμεν καὶ ἀτελῆ, μικρὸν ἐπιστήσαντες, εἰ δοκεῖ, καὶ διαναπαυσάμενοι

σάμενοι

σάμθμοι ἐκ τοῦ δρόμου, σκοπῶμεν τοι καὶ ἐξετάζωμεν εἰ ἄρα ἕτερον ποιητέον αὐτῷ ἐστι φιλοσόφου ἀνδρὸς σημεῖον, ὡς εἰ θεοφιλής τε καὶ τὰ πράγματα ἄνωθεν αὐτῷ κυβερνῶντο, καὶ ὅταν φαίνηται ἀληθὲς τοῦτο καὶ ξυνδοκῇ, αὖθις αὖ πάλιν ἐπιβλεπτέον εἰ μὴ πανταχοῦ τοῖς ἔργοις τοῦ βασιλέως τὰ σύμβολα ἐπίκειται ἐκφανῆ τῆς ἐκ τοῦ οὐρανοῦ προμηθείας. ἀθρεῖτε οὖν ὧδε. ἦν που καὶ ἐφαίνετο ἀναγκαῖον, ἢ τὰ ὑπάρχοντα ἀγαπῶντα τὸν βασιλέα, μοῖραν ὀλίγην κεκτῆσθαι τῆς πατρῴας ἀρχῆς, ἢ τοῦ σύμπαντος ὀρεγόμενον, πρὸς τοὺς συναίμους τὰ ὅπλα κινεῖν καὶ στασιάζειν. ὁρᾶτε οὖν τὴν δαιμονίου σοφίαν. σχεδὸν γὰρ ὥσπερ ἐπὶ σκηνῆς ὁ τοῦ δράματος ποιητὴς δεινόν τι καὶ φοβερὸν τὸ θῆμα πολλάκις ἐπικρεμάσας τοῖς θεωμένοις, κᾆτα παραλόγως ἐκ μηχανῆς λύσιν εὕρετο τῷ δράματι τῆς δυσχερείας· οὕτως καὶ ὁ τῶν ἀληθινῶν παθημάτων μυθοποιὸς περιστήσας ἔνθεν καὶ ἔνθεν τῷ βασιλεῖ ἢ ἀδικίας ἀνάγκην ἢ ἀνανδρίας, ὅμως ἐπήγαγε μηχανὴν ὥστε ἄμφω διαφυγεῖν, μᾶλλον δὲ ὥστε ἄμφω ἔμπαλιν ξυμβῆναι. οὐ γὰρ ἀδικήσας τοὺς ἀδελφούς, ἀλλὰ τοὐναντίον, τῷ μὲν συναλγήσας, τοῦ δὲ ὑπεραλγήσας, ὑπὸ τῆς ἄγαν φιλοσοφίας, μόνος ἐγκρατής ἐστι τῆς πατρῴας. εἶεν. τὸ δὲ δὴ πείσας τοὺς διωνύμους σχολὴν μὲν ἄγοντι μὴ παύεσθαι ἐνοχλοῦντας, ἀσχολουμένου δὲ σχεδόν τι ἀπολωλέναι, ἆρα οὐκ ἐναργὲς ἐκείνης τῆς συμμαχίας σημεῖον; φαίνεται γὰρ ὁ θεὸς καθάπερ ἐν μικρᾷ παρατάξει πολλῶν πολεμίων ἀντικαθιστάμενος πρὸς τὸ πονούμενον κέρας τῷ βασιλεῖ. ἀφήσετε οὖν με λοιπὸν τοῦ συμβολαίου; ἢ οὔπω δοκῶ ὑμῖν διαλελύσθαι; καὶ μὴν ἔοικα μετὰ σπουδῆς καὶ προθυμίας οὐκ ἀναγόμενος ὑμῖν κατὰ μικρὸν διαριθμῆσαι τοῖς λόγοις, ὥσπερ νόμισμα ἐπὶ τραπέζης, ἀλλ' εἰκῇ καὶ ἀθρόως ἐπιδραττόμενος, εἰκότως ἄρα καὶ ἀπιστεῖσθε ὡς οὐ πᾶν τὸ ὄφλημα * αὐτίκα τὴν περὶ τὸ σῶ-

m.i.

μα φιλοσοφίαν καὶ καρτερίαν εἶπον ἂν μόνον, εἶπον δ' ἐν βραχεῖ συλλαβών. εἰ δὲ ἐθελήσαιμι διεξιέναι καὶ ἐνσχολάζειν, φανείη ἂν καὶ τὸ μικρὸν τοῦτο μέγα τι ὑμῖν καὶ πολλοῦ ἄξιον. ὅτι δὴ σῶμα βασιλικὸν στερεότερόν ἐστιν ἀδάμαντος ὑπὸ τῶν πόνων· οὕτω ῥᾳδίως αὐτὸ καὶ εὐκόλως ἐμπιέζει μὲν ἐνδείᾳ, δίψῃ δὲ ἀνίᾳ, θυραυλίᾳ δὲ ἐποτρεμώς, περιβάλλει δὲ χειμῶνι, καύματι δὲ ἐπιδίδωσιν. ὁ δὲ Ἀλέξανδρος ἐκεῖνος Δαρείου μὲν ἐκράτει, Κύδνου δὲ ἡττήθη τοῦ ποταμοῦ ψυχροῦ ῥέοντος καὶ διαυγοῦς· καὶ πολλὰ δεινὰ πολλάκις ἀνέτλη ὑπὸ ταύτης τῆς ἀκρασίας, ὅς γε καὶ ἐν τῷ θέρει νιφετὸν περιεφέρετο, καὶ ἦν αὐτῷ μοῖρα τῆς ἐπ' Ἰνδοὺς παρασκευῆς ὁ κρύσταλλος καὶ οἱ ψυκτῆρες. βασιλεὺς δὲ οὐ φιλονεικεῖ πρὸς τὰς ὥρας, ἀλλὰ καὶ ταύτῃ ἕπεται τῷ θεῷ. οὐδὲ γὰρ ὅσα αὐτὴ ἡ ὥρα φύει πρὸς ἑαυτὴν ἀπέχρασα καὶ ἕτοιμα παραμύθια, οὐδὲ τούτων ἁλίσκεται κατὰ τὸ ξυμφέρον. ἀλλ' ἐὰν ἅπαξ ὦ μακάριοι λεπτουργεῖν ἐπιτρέψωμεν καὶ ἀπομηκύνειν τῷ λόγῳ, πόρρω ἡμᾶς εὖ ἴστε ἐξοίσει. ἐπιθετέον οὖν σφραγῖδα τοῖς εἰρημένοις ἣν αὐτὸς ἔναγχος ἐπέθηκε βασιλεὺς πάνυ λαμπράν τε καὶ νεουργόν. οὕτω γὰρ ὢν ὄντι φιλόσοφός ἐστι γνήσιος ὥστε καὶ τὸν συνάρχοντα φιλόσοφον ἐποιήσατο, οὐχ ὅτι προσήκει αὐτῷ κατὰ γένος, ἀλλ' ὅτι κατ' ἀρετὴν αὐτῷ ἀγχιστεύει. οὐκ οὖν δεοίμην εὔχεσθαι ἔτι, καθάπερ ὁ πάνσοφος Πλάτων, ὑπὲρ τοῦ κοινοῦ γένους τοῦ ἀνθρωπίνου, ξυνδραμεῖν τε βασιλείᾳ φιλοσοφίαν καὶ ξυμπορευθῆναι, μηδὲ διεσπᾶσθαι ἀεὶ καὶ ἀπερρωγέναι, ἀλλ' ἔνεστιν ἀπολαύειν καὶ ἐμφορεῖσθαι τοῦ ἀνεμπλήστου θεάματος.

Pag.22.V.νοι] Corrige τὸ, reponens τόν. P.43.V. προηλ.] repone προηλωκότων. P.54. initio, ἀποδιδράσκοντες. P.131.V.σιν] ſcribe ὑπόστασις. P.152.V.πανταις] Poſt πανηγύρεως ſcribe notam στιγμῆς. P.157.V.ἀντ.] Lege συναπώνατο. P.163.V.ου] Scribe οὐ.

IN THEMISTII ORAtiones, emēdationes Henr. Stephani.

¶ Pagina 3. Versu ὅρα] Legitur & ἐγείροντα. vide pag. 53. ver. 4, & 5. V. ἐπὶ] Pro ταῦτα reponendum puto ταύτῃ.

¶ P. 4. V. γεῖον,] Veram scripturā esse credo βουλομένοις αὐτοῖς.

¶ P. 5. V. που] Ante ἀκούων deesse ὅς videtur. Nisi fortè legendum est, ἀκούων γὰρ ὅτι, &c.

¶ P. 6. V. νη] Γαρεχγενέσθαι mutandum in παραγίνεσθαι, & verbum aliquod addendum esse crediderim, videlicet φησὶ, aut ἔφη, vel ἡγήσατο, vel huiusmodi quodpiam.

¶ P. 7. V. τὰ] Pro λωβὰ vide num λοξὰ aut potius κολοβὰ reponi debeat.

¶ P. 9. V. θρώπ.] Quin ξυνέχειν mendosè scriptū sit, non dubito. sed ex Theognidis loco nullam emēdationem eius perspicere queo. ita enim ille,

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα Κύρνε καὶ ἵππους
 Εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
Βήσεσθαι. γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
 Ἐσθλὸς ἀνὴρ, ἤν οἱ χρήματα πολλὰ διδῷ. Incipit autē huius argumēti tractatio ab hoc p. præcedentis loco, εἰσί που ὑμῖν ἐν τῇ οἰκίαις πολλοὶ μὲν ἵπποι, &c.

¶ P. 10. V. σοφ.] Nō λάβοιτε sed εὕροιτε dicēdū fuisse videtur. Nisi forte quis καταλάβοιτε legēdū putet.

¶ P. 11. V. φου] Hanc genuinam esse lectionem puto, φύσεως πέρι, ὅτι μαθ. &c.

¶ P. 12. V. τῆς ψυχ.] Vide p. 13, παιδεία προσταττομένη. V. τὸ] Suspectū est mihi participium διοικούμενον. at pro προεστηκότα repono προσπεπτωκότα. V. ὑποκρ.] Μίθαικος legitur apud Max. Tyr. in serm. eius à me excusis, p. 29, καὶ πρὸς τὰ τέλωμεν τὸν ἄνδρα; εἰς τὰς

δημιουργοὺς, ὡς τ̃ Τυχῶν; εἰς τοὺς ὀψοποιοὺς, ὡς Μίθαικον; Item, p.98, παρὰ μὲν Μιθαίκου ὄψον, παρὰ δὲ Σαράμβου οἶνον. V.ἐπιδ.] Suspectũ primò fuit mihi verbũ ποιῆ: sed animaduerti postea itidẽ p.15, ποιούμενος pro προσποιούμενος, & p.161, ποιούμενοι pro προσποιούμενοι

¶ P.13. V. παρ'] Dum hæc excuderẽtur nõ ausus sum emendare σαλέντων, postea tamẽ inueni p.163 locũ ex quo hîc apertè reponi ταλαίτων debet pro σαλέντων. V.διαφ.] Sic p.174. vtitur eiusdem verbi voce passiua in eadem significatione, τῆ σοῦ ἐναντιοῦσθαι καὶ διαφέρεσθαι; V.πρ] Fortasse scribendum est, εἰ πρὸς ταῦτα, &c. V. ταλ.] Pro σαρκία vereor vt reponendum sit ῥακία. V.φοιτ] Quidam reponendum hîc putant συνεχῶς pro συνετῶς. V.ἀεὶ] Pro οἷαι rectius, vt opinor, legetur οἷα.

¶ P.14. V.γνωμ.] Post δακτύλιον nõ dubito quin omissum sit participiũ ἔχων, vel φέρων, vel aliquod huiusmodi. V.νεται] Reponendum puto, ὑπὸ σοφίας. V.ξένας] Lego συσκευασαμένη.

¶ P.15. V.σκυβ.] Scribo ἡμεῖς. V.πασίαν] Non ἐπὶ ταῖς κεφαλαῖς, sed ἐν ταῖς ἀγκάλαις περιφέρειν potius dicitur prouerbiali figura, cùm ab aliis tum à Xenophonte, lib. Pæd.7. p.115 nostræ edit. μετὰ δὲ τοῦτο, ὑρκάνιοι μὲν πρῶτοι, φίλοι ἡμῖν ἐγένοντο, καὶ μάλα πεινῶσι συμμάχων. ὥστε μόνον οὐκ ἐν ταῖς ἀγκάλαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες. V.ἀνάγκη] Videtur τοῦ esse παρέλκον, nisi fortè aliquid deest.

¶ P.17. V.ἐπέκτο] Fortasse legendum φασί. V.σον] Post ἀλλ' ἡμεῖς deesse suspicor εἰ.

¶ P.18. V.χπέον] Vide num scribi debeat καὶ ὅσοις.

¶ P.20. V.οὔρ.] Staret versus, legendo οὔρεσιν ἠδὲ λέοντα. Sed nec tertius stabit nisi τούτων expungamus. Quartus autẽ integer fuerit si scribamus ἀλλ' ἄμα. V.καὶ] Fortasse rectius scriberetur φαυλο-

τέρως, itidem σεμνοτέρως paulo póst. V.μείζω] Pro περὶ haud facilè dixerim quid reponi debeat. nam particula quidem μὲν optimè conueniret, sed nimium remota habet ab illa præpositione scripturam. V.φιλ.] Fortasse scripserat ἐν τοῖς λόγοις.

¶ P.22. V.τις] Latet error sub hoc loco ἐν ταῖς εἰς τοὐπίσω, &c. Sed de eo, sicut & de aliis multis, quod dicā in præsentia non habeo. At τὸ pro τὸν perperā positum esse manifestissimū est. V.ἀνδρ.] Repono ἀνάκτορα, ex pag. 28. V.ἡμῖν] Fortasse legendū est καταπεμαῖται, vt alibi dicit ἔπιμος καταπέμνειν.

¶ P.24. V.ῥᾴω] Deesse videtur οὐδὲν, vel post γὰρ, vel post γλυκυρώτερον. Legi etiam potest, οὐδὲν γάρ ἐστι γλυκυρώτερον. Cic. ad Att. epist. lib. 4, Οὐδὲν γλυκύτερον ἢ πάντα εἰδέναι. quare, vt homini curioso, ita perscribe ad me, quid prim⁹ dies, quid secūdus, &c V.Καρ.] Pro λιβανωτοῖς reponēdū puto λιβανωτοῦ.

¶ P.27. V.ἐγγ.] Malim καθίσουσι. V.οὕτω] Malim ἤπου. V.προτ.] Pro ὑβάκις (quod in Ald. edit. legitur) non dubium est quin reponi debeat ἢ Βάκις, vt habes hîc. Sic p. 164, Βάκιδός τε καὶ Ἀμφιλύκου.

¶ P.29. V.καταχ.] Lego ζύτις.

¶ P.32. V.τυρ.] Malim διεχπύσει, item ἐξελάσειν.

¶ P.35. V.τῶν] Repone ex Theognide Πολυπαΐδη

¶ P.36. V.λοι.] Fortasse recti⁹ ῥᾴων. (pro παῖ δή.

¶ P.37. V.συν] Videtur παρέλκειν copula & ante χῶρα. At pro ὁ τῆς Ἀθηναῖς λόγος malim ὁ τῆς παροιμίας λόγος. ¶ P.38. V.τῶν ψυχ.] Malim ἐπιλήσμονες.

¶ P.40. V.περον] Rectius τῶν λαφύρων, vt τῶν φίλων. V.κριτ.] Repono ἰώπναξιν. V.ρετλω] Fortasse scripserat ἐλάρεσος.

¶ P.42. V.λαιον] Videtur παρέλκειν aduerbiū πέλας post οἱ δέ. V.περις.] Post ἐπάγειν deesse videtur altera pars, in qua sit δὲ quod ipsi μὲν respōdeat.

¶P.45.V.σε λάθ.] Fortaſſe melius παρεςδῦσα, vt p.48. V.νεκ.] Poſt πᾶσαν deeſſe aliquod ſubſtanſtiuum patet.

¶P.48.V.νεύειν] Rectius ἐπωφελές, ſi retinẽdum eſt μνημονεύειν. V.δεδ.] Si retineatur hæc lectio, οὐκ ἐθάρσει αὐτοὺς, ſignificat Non audebat aggredi ipſos. ¶P.50.V.φῆς,] Malim ἐπὶ θάτερα.

¶P.51.V.διαστ.] Legendum puto πολλή, niſi forte πολὺ pro ἐπιπολὺ ſumatur.

¶P.52.V.τοῦ σφ.] Repono ὅμως. [ſe πρός.

¶P.53.V.καὶ πρωτ.] Ante ἐκεῖνο crediderim deeſ-

¶P.59.V.δέομαι] Fortaſſe legendum eſt ὅ,τι pro

¶P.60.V.δὲ τοῦ] Malim λωβωμένου. [οὔτε.

¶P.61.V.ἀκουσ.] Fortaſſe reponi debet ἠκούσατε.

¶P.63.V.δὲ ὀρθ.] Pro ὀρθοῖς legendum cenſeo ὀρθῶς. V.ζῶν] Si reponas σαθεύει ſignificabit torret, vel aſſat. ſed nõ ſatis cõuenire huic loco videtur.

¶P.64.V.ἐν ὀρφ.] Pro οἰκουρεῖ γρ. οἰκοφθορεῖ. V.πίζας] Malim κἆτα προΐσχονται.

¶P.72.V.λιῶ] Scribe ποδαβρὶς retracto accẽtu in vlt. & vide λυδὲ ποδαβρὲ in quodam oraculo apud Herodotum libro I.

¶P.73.V.πένης] Malim ἐν φειδιτίῳ. V.της] Malim ἀτρεμίζει, & verſu ſequenti φῦλα pro φίλα.

¶P.75.V.ὧν πόῤῥ.] Fortaſſe ſcripſerat ἐφροιμιάζετο.

¶P.76.V.τὸ βουλ.] Sequẽtia poſtulare videntur vt πυθέσθαι legamus. In ſeq. autẽ verſu μᾶλλον non librariorũ omiſſum incuria (vt in quodã præcedenti loco) ſed cõſultò ab authore prætermiſſum videri queat, vt quod facilè ſubaudiri poſſet. vt pag. ſeq. ἢ γὰ θέλω ἢ λιῶ, pro μᾶλλον ἢ λιῶ. V.οὕτως] Repono ἂν ἀκαρεῖ, item ἀμεμπτί.

P.77.V.φων.] Niſi hæc interrogatiuè legantur, addendum fuerit μὴ ante φῶμεν.

¶P.79.V.λωπς] Malim ἐξορμᾶται. ¶P.80.V. καὶ] Repono δίςπερα. ¶P.81.V.ὀκνεῖ] An ἄδειν.

¶P.82.V. ὅσα] Pro οἱ πάλαι malim οἱ πολλοὶ, id eſt vulgus hominum. ¶P.85.V.χαλ.] malim ἀχαλινώτερον. ¶P.86.V.καλ.] malim εἰ τύχοι, quo genere loquendi vtitur & alibi. Poſſet etiam legi οἱ τοῖχοι, ſed tunc καλλιώονται ſcribendum eſſet. ¶P.95.V. χρυσοπ.] Pro τὶς paulo melius fortaſſe legatur θῆς.

¶P.96. V. μιλλαι] χρῆται τῶν ἀπολέμων. V.ηδ.] Fortaſſe rectius στέγειν. ¶P.97. V.βαρ.] Malim οἰσύϊνον. Nullo certè modo alteram lectionē σήσιον retineri poſſe cōſtat. V.προ.] Lego ἤκουσι non ἤκουσ.

¶P. 99. V. γῆσαι] Quidam pro πόλει reponunt ἀκροπόλει. V.πειδὴ] Lego δοκεῖ. alioqui κἀγώ σε ὦ μακάριε legendum eſſet. V.ἀρχ. Legēdum puto ἀρκοῦντα. V. θατ] Malim ἀπολείψει. V.δεξ.] Quidā ſcribēdum cēſent κύρια. ¶P.103.V.γνω.] Repono οὐδὲ πρῶτος. ¶P.105.V.ἀλλ.] Hîc quoq; negationem omiſſam arbitror, & ſcribēdum οὐκ ἀλλότριον. ¶P.107.V.θεοὶ] Particula εἰς aut expūgi prorſus, aut ſaltē in aliud vocabulū mutari debet. Alludit autē ad ſequētia Homeri verba. nam poſt παννύχιοι habetur apud eum, -- Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. Sed pro κωμῳδία lubenter legerem ῥαψῳδία, hoc ſenſu, Sed rhapſodus ille hæc deſcribens, non addidiſſet illa verba, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. non enim Ioue ē dormientium numero exemiſſet, quem tunc vigilaſſe minimè veriſimile eſt. quomodo enim neglexiſſet, &c. ¶P.108.V. πολύ.] Malim θαλλόν. ¶P.109.V.αἰτ.] Repono αἴτια θεῖν. V.μικρ.] Fortaſſe deeſt ἀπήλθομεν. V.ἡ πεδ] Malim ἡ ἥμερον. ¶P.111.V.πνα] Pro ἄνθρωπιν ſcribo ἀπαίθρωπον. ¶P.115.V.νεκπὸς] Legēdū videtur διὰ δίξας, aut tale quid. ¶P.116.V.χενο] Sub ὑπὸ τιμὴ la-

tet error. ¶ P.117.V.φαδαι] An παρόσοδον. ¶ P.121. V.τ̃ μον.] Repono καὶ δικαίαν. Sic p.160, δίκαιος γὰρ μὴ σιωπᾶσθαι. V.μνήσατο] Repono προσωρμίσατο.

¶ P.122.V.τον] Pro θαίοις vide an cõueniat ῥωμαίοις.

¶ P.128.V.πι] Malim καθαρώτερος. ¶ P.134.V. γαθά;] Pro ὁμότιμος malim ὁμοτίμου. ¶ P.141.V. παινῆ.] Repono συμπροθυμώμεθα. ¶ P.145.V.πως] Legendum puto ὅσα μὲν πεὶς ἅμιλλαν. ¶ P.148. V.ταλ.] Rectius legeretur ὅστις. & ἀλαβείας pro ἀσεβείας. itẽ οἴκοι pro ἢ καί. Sed αὐτοῖς videtur παρέλκειν. ¶ P.149.V.ιατρῶν] Malim καρπῶν. ¶ P.151. V.διατ.] Repono διατελεῖτε. ¶ P.152.V.σιῷ] Pro λεῷ repono ἵλεω, vt sit τυγχάνοιμεν ἵλεω. sub. αὐτοῦ.


¶ P.160.V.τυρ.] Tale quid scripsisse Themistiũ verisimile est, βαναύσων ἀνθρώπων ἔργα, vel τεχνήματα, aut δημιουργήματα. vel βαναύσων simpliciter sine ἀνθρώπων. Pro ἀρχαῖα autem malim ἀχρεῖα. ¶ P.161. V.τῶν] An τείχοις. ¶ P.163.V.τοῦτο] Reponendum puto ὑπερρύειν. ¶ P.164.V.προν] γέγραπται Ἀμφιλίπου. Quid si Ἀμφιλόχου legatur? V.τοῖς λοῦ.] Fortasse οὕτως ἀτυχὴς, vel οὕτως ἄγαν τυχὼς, scribendum est.

¶ P.166.V.πυ] Pro Ἀρχίδαμος repono Ἀγησίλαος.

¶ P.167.V.λων] An τ̃ ἀνακτόρων; ¶ P.168.V.φρον.] Rectius ὧ δὲ τρυφᾶν ὑπὸ. P.169.V.παρ.] Legendũ puto καὶ οὐ κροτῶ τ̃ μηχ. ¶ P.170.V.γοντες] Hæc aut similia scripsisse videtur Themistius, ψευδώνυμοι οἱ καταφθεγγόντες ἐπὶ τὸν λόγον, καὶ οἱ τὰ ἔργα ἐπιδεικνύμενοι ἀντὶ τῶν λόγων. ¶ P.171.V.παι] Repono οὐδὲν τι μεῖον.

¶ P.172.V.στφος] Fortasse legẽdum ξυνάμα πορεύεσθαι, vel potius ξυνάμα ξυμπορεύεσθαι pro ξυνὼ ἅρμασι πορεύεσθαι. Alibi, ξυνδραμεῖν βασιλεία φιλοσοφίαν καὶ ξυμπορευθῆναι. ¶ P.174.V.παλ.] Malim ἐξενεχθείς. ¶ P.176.V.θύμου] Malim διολόμενοι.

FINIS.



THEMISTIOU PHILOSOPHOU, ... LOGOI TESSARESKAIDEKA. THEMISTII PHILOSOPHI...

Themistius

